indeed not I-know ourselves but all surely in-exile
ἀσφαλίζου τὸν γυρευτήν, καὶ φιλήδονον δαίμονα. Ἡ γὰρ
guard-against the roving and pleasure-loving demon the for
ξενιτεία ἀφορμὴν αὐτῷ δίδωσι. Καλὴ ἡ ἀπροσπάθεια,
exile occasion to-him gives good the detachment
ταύτης δὲ ξενιτεία μήτηρ· ὁ ξενιτεύσας διὰ τὸν
of-this and exile mother the(-one) having-gone-into-exile because-of the
Κύριον, οὐκ ἔτι σχέσεις ἔσχηκεν, ἵνα μὴ φανῇ
Lord not any-longer attachments has-had that not he-may-appear
διὰ πάθη πλαζόμενος. Ὁ κόσμου ξενιτεύων,
because-of passions wandering the(-one) from-the-world going-into-exile
μηκέτι κόσμου προσψαύσῃς· πεφύκασι γὰρ τὰ πάθη
no-longer (the)-world touch are-wont for the passions
φιλεπίστροφα εἶναι. Ἐξορίζεται ἀκουσίως ἡ Εὔα τοῦ
prone-to-return to-be is-exiled unwillingly — Eve from-the
παραδείσου, καὶ μοναχὸς ἑκουσίως τῆς ἑαυτοῦ πατρίδος.
paradise and a-monk willingly from-the own homeland
Ἡ μὲν γὰρ πάλιν τοῦ ξύλου τῆς παρακοῆς ἐπιθυμεῖν
she indeed for again of-the tree of-the disobedience to-desire
ἔμελλεν· ὁ δὲ κίνδυνον ἐκ τῶν κατὰ σάρκα συγγενῶν
was-going he but danger from the according-to flesh kinsmen
πάντως ὑφίστατο. Ἀπόφευγε ὡς ἀπὸ μάστιγος, τοὺς τῶν
surely underwent flee as from a-scourge the of-the

πτωμάτων τόπους. Καρποῦ γὰρ μὴ παρόντος οὐ συνεχῶς
falls places fruit for not present not constantly
ὀρεγόμεθα. Μηδὲ οὗτος ὁ τρόπος, καὶ δόλος τῶν κλεπτῶν
we-crave nor this the way and trick of-the thieves
λανθανέτω σε· ὑποβάλλουσι γὰρ ἡμῖν τῶν κοσμικῶν μὴ
let-escape you they-suggest for to-us from-the worldlings not
χωρίζεσθαι, πολὺν τὸν μισθὸν ἡμᾶς λέγοντες κομίζεσθαι,
to-be-separated great the reward us saying to-receive
εἴπερ ὁρῶντες τὸ θῆλυ ἑαυτῶν κρατήσωμεν, οἷστισιν οὐ
if-indeed seeing the female ourselves we-master whom not
πείθεσθαι δεῖ, μᾶλλον δὲ τοὐναντίον ποιεῖν. Ὅταν τῶν
to-obey one-must rather but the-opposite to-do when from-the
οἰκείων ἡμῶν ἐπὶ χρόνον, ἢ χρόνους ἀναχωρήσαντες
kin our for a-time or times having-withdrawn
μικράν τινα εὐλάβειαν, ἢ κατάνυξιν, ἢ ἐγκράτειαν ἑαυτοῖς
little some reverence or compunction or continence for-ourselves
περιποιησώμεθα· τότε λοιπὸν οἱ λογισμοὶ τῆς ματαιότητος
we-have-gained then thereafter the thoughts of-the vanity
ἐπιστάντες πορεύεσθαι ἡμῖν πάλιν ἐπὶ τὴν οἰκείαν πατρίδα
coming-on to-go us again to the own homeland
ἐπιτρέπουσιν εἰς οἰκοδομὴν πολλῶν, φησίν, καὶ τύπον,
urge for edification of-many he-says and example
καὶ ὠφέλειαν τῶν τὰς πράξεις ἡμῶν τὰς ἀθεμίτους
and benefit of-those the deeds our the lawless
σκοπούντων. Εἰ δὲ καὶ λόγου, καὶ φίλης γνώσεως
observing if but also in-speech and mere knowledge
εὐποροῦντες τυγχάνομεν, τότε λοιπὸν ὡς σωτῆρας ψυχῶν,
abounding we-happen-to-be then thereafter as saviors of-souls
καὶ διδασκάλους ἡμᾶς ἐν αὐτῷ κόσμῳ ὑποβάλλουσιν, ἵνα
and teachers us in the-very world they-suggest that
τὰ ἐν τῷ λιμένι συναχθέντα καλῶς, ἐν τῷ πελάγει
the-things in the harbor gathered well in the open-sea

κακῶς σκορπίσωσι. Μὴ τὴν γυναῖκα, ἀλλ᾽ αὐτὸν τὸν
badly they-may-scatter not the wife but himself —
Λὼτ μιμεῖσθαι σπουδάσωμεν· ψυχὴ γὰρ στραφεῖσα ὅθεν
Lot to-imitate let-us-be-eager a-soul for having-turned whence
ἐξῆλθεν, ὡς τὸ ἅλας μωρανθήσεται, καὶ ἀκίνητος λοιπὸν
it-came-out as the salt will-lose-its-savor and motionless thereafter
μένει. Φεῦγε Αἴγυπτον ἀμεταστρεπτί. Αἱ γὰρ στραφεῖσαι
remains flee Egypt without-turning-back the for having-turned
καρδίαι ἐκεῖ τὴν γῆν τῆς ἀπαθείας Ἱερουσαλὴμ οὐκ
hearts there the land of-the dispassion Jerusalem not
ἐθεάσαντο. Ἔστιν ἐν προοιμίοις διὰ τὸ νηπιῶδες
beheld it-is-possible in (the)-beginnings because-of the childishness
ἀπολιπόντας τὰ οἰκεῖα, καὶ τελείως καθαρθέντας, πρὸς
having-left the own(-things) and perfectly having-been-cleansed to
αὐτὰ συμφερόντως ἐπιστραφῆναι, ἴσως σκοπῷ τοῦ
them profitably to-return perhaps with-(the)-aim of-the
μετὰ τὸ σωθῆναι σῶσαί τινας. Καίπερ ἐκ Θεοῦ Μωσῆς
after the to-be-saved to-save some although from God Moses
ἐκεῖνος ὁ θεόπτης, πρὸς σωτηρίαν τοῦ ὁμοφύλου γένους
that the God-seer for salvation of-the same-tribed race
ἀποσταλείς, πολλοὺς ἐν Αἰγύπτῳ τοὺς κινδύνους, ἤγουν ἐν
sent many in Egypt the dangers that-is in
τῷ κόσμῳ τοὺς σκοτασμοὺς ἔσχηκε. Καλὸν λυπῆσαι γονεῖς,
the world the darknesses had good to-grieve parents
καὶ μὴ Κύριον· ὁ μὲν γὰρ καὶ ἔπλασε, καὶ ἔσωσεν· οἱ
and not (the)-Lord he indeed for both formed and saved they
δὲ πολλάκις οὓς ἠγάπησαν, ἀπόλεσαν, καὶ τῇ κολάσει
but often whom they-loved destroyed and to-the punishment
παρέδωκαν· ξένος ἐκεῖνός ἐστι· ὁ ὡς ἀλλόγλωσσος
delivered a-stranger that-one is the(-one) as of-another-tongue
ἐν ἑτερογλώσσοις ἐν γνώσει καθήμενος. Οὐ μισοῦντες
among foreign-tongued in knowledge sitting not hating

ἡμεῖς τοὺς οἰκείους ἑαυτῶν, ἢ τοὺς τόπους ἀναχωροῦμεν,
we the kin our-own or the places we-withdraw
μὴ γένοιτο! ἀλλὰ τὴν ἐξ αὐτῶν ἡμῖν προσγινομένην
not may-it-be but the from them to-us accruing
βλάβην ἐκφεύγοντες. Ὡς ἐν πᾶσι, καὶ ἐν τούτοις γίνεται
harm fleeing as in all-things also in these becomes
ἡμῖν Χριστὸς τοῖς ἀγαθοῖς διδάσκαλος. Φαίνεται γὰρ καὶ
to-us Christ in-the good-things teacher he-appears for also
αὐτὸς τοὺς γονεῖς κατὰ σάρκα πολλάκις καταλιπών· καὶ
himself the parents according-to flesh often having-left and
παρά τινων ἀκούων· Ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί σου
from some hearing the mother your and the brothers your
ζητοῦσί σε· θᾶττον ὁ καλὸς ἡμῶν Κύριος, καὶ διδάσκαλος
seek you quickly the good our Lord and teacher
ἀπαθὲς μῖσος ὑπέδειξεν εἰπών· Μήτηρ μου, καὶ ἀδελφοί
dispassionate hatred showed having-said mother my and brothers
μού εἰσιν οἱ ποιοῦντες τὸ θέλημα τοῦ Πατρός μου
my are those doing the will of-the Father my
τοῦ ἐν τοῖς οὐρανοῖς. Ἔστω σου πατὴρ ὁ πρὸς
the in the heavens let-be your father the(-one) toward
τὸ φορτίον τῶν ἁμαρτημάτων συγκοπιάσαι δυνάμενος,
the burden of-the sins to-toil-with(-you) able
καὶ βουλόμενος, μήτηρ δέ, ἡ κατάνυξις, ἡ ἀποπλῦναί
and willing mother and the compunction the to-wash-off
σε τοῦ ῥύπου ἰσχύουσα· ἀδελφὸς δέ, ὁ πρὸς τὸν
you from-the filth strong brother and the(-one) toward the
δρόμον τὸν ἄνω συμπονῶν καὶ συναμιλλώμενος· κτῆσαι
course the above toiling-with and contending-with acquire
σύμβιον ἀναπόσπαστον μνήμην θανάτου· τέκνα δέ σου
as-spouse inseparable remembrance of-death children and your
φιλητὰ ἔστωσαν στεναγμοὶ καρδίας. Δοῦλον κτῆσαι σὸν
beloved let-be groanings of-heart a-slave acquire your

σῶμα. Φίλους δὲ τὰς ἁγίας δυνάμεις, αἵτινες ἐν καιρῷ
body friends and the holy powers which in time
ἐξόδου ὠφελῆσαί σε δύνανται, ἐὰν φίλοι σου γίνωνται·
of-departure to-help you can if friends your they-become
«Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον,» πόθος Θεοῦ
this the generation of-those-seeking the Lord longing of-God
ἀπέσβεσεν πόθον γονέων. Ὁ δὲ λέγων ἀμφότερα ἔχειν,
quenched longing of-parents the(-one) but saying both to-have
πεπλάνηκεν ἑαυτὸν ἀκούων τοῦ λέγοντος· Οὐδεὶς δύναται
has-deceived himself hearing the(-one) saying no-one can
δυσὶ κυρίοις δουλεύειν, καὶ τὰ ἑξῆς. Οὐκ ἦλθον, φησὶν ὁ
two masters serve and the rest not I-came says the
Κύριος, εἰρήνην βαλεῖν ἐπὶ τῆς γῆς (γονέων πρὸς υἱοὺς
Lord peace to-bring on the earth of-parents toward sons
καὶ ἀδελφοὺς δουλεῦσαί μοι προαιρουμένους), ἀλλὰ μάχην
and brothers to-serve me choosing but battle
καὶ μάχαιραν, διχάσαι φιλοθέους ἐκ φιλοκόσμων· ὑλικοὺς
and sword to-divide God-lovers from world-lovers material
ἐξ ἀΰλων, φιλοδόξους ἐκ ταπεινοφρόνων. Εὐφραίνεται
from immaterial glory-lovers from humble-minded rejoices
γὰρ Κύριος ἐπ᾽ ἀμφιβολίᾳ καὶ χωρισμῷ, διὰ τὴν πρὸς
for (the)-Lord at division and separation because-of the toward
αὐτὸν ἀγάπην γινομένῳ. Ὅρα ὅρα, μή πως ὑδάτων τὰ
him love happening see see lest somehow of-waters the
πάντα σοι πεπληρωμένα, φανῇ διὰ τὴν προσπάθειαν
all-things to-you filled appear because-of the attachment
τῶν οἰκείων σοι ἀγαπητῶν, καὶ τῷ κατακλυσμῷ
of-the own your beloved and in-the flood
φιλονεικίας συναπέλθῃς. Μὴ οἰκτειρήσῃς γονέων ἢ φίλων
of-contention you-go-down-with not pity of-parents or friends
δάκρυα· εἰ δὲ μή, αἰωνίως μέλλεις δακρύειν. Ὁπόταν σε
tears if but not eternally you-are-going to-weep whenever you

περικυκλώσωσιν ὥσπερ μέλισσαι, μᾶλλον δὲ σφῆκες, θρῆνον
surround like bees rather but wasps a-lament
οἱ ἴδιοι ποιούμενοι ἐπὶ σοί, συντόμως πρὸς τὸν θάνατον,
the own making over you quickly toward the death
καὶ τὰς πράξεις τὸ τῆς ψυχῆς ὄμμα ἀμεταστρέπτως
and the deeds the of-the soul eye without-turning
ἀτένισον, ἵνα πόνον πόνῳ δυνηθῇς ἀποπέμψασθαι.
gaze that pain with-pain you-may-be-able to-drive-away
Ὑπισχνοῦνταί δολίως ἡμῖν οἱ ἡμῶν, καὶ οὐχ ἡμῶν,
promise deceitfully to-us those ours and not ours
πάντα τὰ φίλα διαπράττεσθαι, σκοπὸς δὲ τούτοις τῷ
all the friendly-things to-accomplish the-aim but for-them the
ἀρίστῳ ἡμῶν ἐμποδίσαι δρόμῳ, εἶτ' οὕτως λοιπὸν πρὸς
best our to-binder course then thus thereafter toward
τὸν οἰκεῖον σκοπὸν ἡμᾶς ἐπισπάσασθαι. Ἡ τῶν τόπων
the own aim us to-draw-away the of-the places
ἡμῶν ἀναχώρησις ἔστω, εἰς τὰ ἀπαρακλητικώτερα, καὶ
our withdrawal let-be to the less-consoling and
ἀκενοδοξότερα, καὶ ταπεινότερα μέρη· εἰ δὲ μή, μετὰ
less-vainglorious and lowlier parts if but not with
πάθους πετόμεθα. Ἀπόκρυπτε εὐγένειαν, καὶ εὐδοξίαν μὴ
passion we-fly hide noble-birth and good-repute not
ἀναπόμπευε, μή πως εὑρεθῇς ἕτερος μὲν ἐν τῷ σώματι,
parade lest somehow you-be-found another indeed in the body
ἕτερος δὲ ἐν τοῖς πράγμασι διακείμενος. Οὐδεὶς τοσοῦτον
another but in the deeds disposed no-one so-much
τῇ ξενιτείᾳ ἐκδέδωκεν ἑαυτόν, ὡς ὁ μέγας ἐκεῖνος ὁ
to-the exile has-given-over himself as the great that the(-one)
ἀκηκοώς· Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας
having-heard go-out from the land your and from the kindred
σου, καὶ ἐξ οἴκου τοῦ πατρός σου· καίπερ ἐν ἀλλογλώσσῳ
your and from house of-the father your although in foreign-tongued

καὶ βαρβαρώδει γῇ προσκαλούμενος. Ἔστιν ὅταν κατὰ
and barbarous land being-called there-is when according-to
τὸν μέγαν τοῦτον τινὰ ξενιτεύσαντα, ἐπὶ πλεῖον ὁ
the great this someone having-gone-into-exile for more the
Κύριος ἐδόξασεν. Πλὴν εἰ καὶ δόξα θεόσδοτος καλὸν
Lord glorified however if even glory God-given good
αὐτὴν διὰ θυρεοῦ ταπεινώσεως ἀποστρέφεσθαι. Ὁπηνίκα
it through a-shield of-humility to-turn-away when
οἱ δαίμονες ὡς ἐπὶ μεγάλῳ κατορθώματι τῇ ξενιτείᾳ
the demons as for a-great achievement for-the exile
ἐπαινοῦσιν ἡμᾶς, ἢ καὶ οἱ ἄνθρωποι, τότε ἡμεῖς τοῦ
praise us or also the men then we of-the(-one)
δι᾽ ἡμᾶς ἐκ τοῦ οὐρανοῦ, εἰς τὴν γῆν ξενιτεύσαντος
because-of us from the heaven to the earth having-gone-into-exile
ἀναλαμβάνωμεν ἔννοιαν, καὶ εὑρήσομεν ἑαυτοὺς εἰς αἰῶνα
let-us-take-up thought and we-will-find ourselves for age
αἰῶνος ἀναπληροῦν μὴ ἰσχύοντας. Χαλεπὴ ἡ πρός τινα
of-age to-repay not able grievous the toward some
τῶν οἰκείων, ἢ καὶ ξένων προσπάθεια, ἡ δυναμένη
of-the kin or also strangers attachment the able
κατὰ μικρὸν ἐπὶ τὸν κόσμον ἡμᾶς ἐπισπάσασθαι, καὶ
by little to the world us to-draw-away and
τὸ πῦρ ἡμῶν τῆς κατανύξεως τελείως ἀποψυχρῶσαι. Ὡς
the fire our of-the compunction completely to-cool as
ἀμήχανον ἑνὶ μὲν ὀφθαλμῷ εἰς τὸν οὐρανόν, ἑνὶ
impossible with-one indeed eye to the heaven with-one
δὲ εἰς τὴν γῆν νεύειν, οὕτως ἀδύνατον τὸν μὴ τελείως
but to the earth to-look thus impossible the(-one) not completely
πάντων τῶν οἰκείων καὶ ἀνοικείων τῷ λογισμῷ καὶ τῷ
from-all the kin and non-kin in-the thought and in-the
σώματι ξενιτεύσαντα μὴ κινδυνεῦσαι κατὰ ψυχήν. Κόπῳ
body having-gone-into-exile not to-be-endangered in soul with-toil

πολλῷ καὶ μόχθῳ κατορθοῦται ἐν ἡμῖν ἦθος χρηστὸν
much and labor is-achieved in us a-character good
καὶ εὐκατάστατον, καὶ τῷ πολλῷ μόχθῳ κατορθούμενον
and well-settled and with-the much labor achieved
δυνατὸν ἐν μιᾷ ῥοπῇ ἀπολέσθαι· «Φθείρουσι γὰρ ἤθη
possible in one turn to-be-lost corrupt for characters
χρηστὰ ὁμιλίαι κακαί,» καὶ κοσμικαί, καὶ ἄκοσμοι.
good company bad and worldly and unseemly
Ὁ τοῖς κατὰ τὸν κόσμον μετὰ τὴν ἀποταγὴν
the(-one) with-those according-to the world after the renunciation
συναναστρεφόμενος, ἢ πλησίον τυγχάνων πάντως, ἢ ἐν
keeping-company or near being surely either in
τοῖς αὐτῶν περιπεσεῖται βρόχοις, ἢ τὴν καρδίαν ἐν τῇ περὶ
the their will-fall-into nooses or the heart in the about
τούτων ἐννοίᾳ μολυνεῖ, ἢ μὴ μολυνόμενος τοὺς μολυνομένους
them thought will-defile or not being-defiled the being-defiled
κατακρίνων, καὶ αὐτὸς σὺν αὐτοῖς μολυνθήσεται.
condemning also himself with them will-be-defiled

2 Περὶ ἐνυπνίων ἀκολουθούντων εἰσαγωγικοῖς.
on dreams following beginners

3 Ὅτι μὲν τῆς ἡμετέρας γνώσεως ὁ νοῦς ἀτελὴς ὅλος,
that indeed of-the our knowledge the mind imperfect wholly
καὶ πάσης ἀγνοίας ἀνάπλεως, καὶ κρύπτειν ἀδύνατον.
and of-all ignorance full and to-hide impossible
Λάρυγξ μὲν γὰρ βρώματα διακρίνει· ἀκοὴ δὲ νοήματα
(the)-throat indeed for foods distinguishes (the)-hearing and thoughts
διαγινώσκει· ἀσθένειαν μὲν γὰρ ὀμμάτων ἐδήλωσεν ἥλιος·
discerns weakness indeed for of-eyes showed (the)-sun
ἀγνωσίαν δὲ ψυχῆς ἐδήλωσε ῥήματα. Πλὴν ὁ τῆς
ignorance and of-soul showed words however the of-the
ἀγάπης νόμος καὶ πρὸς τὰ ὑπὲρ δύναμιν ἐκβιαστής.
love law also toward the-things beyond power a-compeller

Οὐκ οὖν οἶμαι· οὐδὲ γὰρ ὁρίζομαι· ἀκόλουθον μετὰ
not then I-think not-even for I-define-it consequent after
τοὺς τῆς ξενιτείας λόγους· μᾶλλον δὲ ἐν αὐτοῖς, μικρὰ
the of-the exile discourses rather but in them a-little
περὶ τῶν ὀνείρων ἐντάξαι, ὅσον μηδὲ τούτου τοῦ δόλου
about the dreams to-insert so-that not-even of-this the trick
τῶν δολίων ἀμυήτους ὑπάρχειν ἡμᾶς. Ἐνύπνιόν ἐστι
of-the treacherous(-ones) uninitiated to-be us a-dream is
νοὸς κίνησις ἐν ἀκινησίᾳ σώματος. Φαντασία ἐστὶν
of-mind movement in motionlessness of-body fantasy is
ἀπάτη ὀφθαλμῶν ἐν κοιμωμένῃ διανοίᾳ· φαντασία ἐστὶν
deception of-eyes in sleeping mind fantasy is
ἔκστασις νοὸς ἐγρηγορότος σώματος· φαντασία ἐστὶν
ecstasy of-mind of-waking body fantasy is
ἀνυπόστατος θεωρία. Ἡ αἰτία δι' ἣν μετὰ τὴν
unsubstantial vision the cause because-of which after the
προλαβοῦσαν τάξιν περὶ ὀνείρων λέγειν ἠβουλήθημεν,
preceding order about dreams to-speak we-wished
πρόδηλος· ὅταν καταλείψαντες διὰ τὸν Κύριον τοὺς
evident when having-left because-of the Lord the
ἑαυτῶν οἴκους, καὶ οἰκείους, ξενιτείᾳ διὰ ἀγάπην
our-own houses and kin to-exile because-of love
Θεοῦ ἑαυτοὺς πωλήσωμεν, τότε λοιπὸν οἱ δαίμονες δι'
of-God ourselves we-sell then thereafter the demons through
ἐνυπνίων θορυβεῖν δοκιμάσουσιν ἡμᾶς, τοὺς οἰκείους ἑαυτῶν
dreams to-disturb will-try us the kin our-own
ἡμῖν ὑποδεικνύντες· ἢ κοπτομένους, ἢ θνήσκοντας,
to-us showing either being-beaten or dying
ἢ ὑπὲρ ἡμῶν κατεχομένους, καὶ σινομένους. Ὁ
or for us held-captive and afflicted the(-one)
τοίνυν ὀνείροις πιστεύων ὅμοιός ἐστι τῷ τὴν σκιὰν
therefore in-dreams believing like is to-the(-one) the shadow

ἑαυτοῦ κατατρέχοντι, καὶ ταύτην κατέχειν δοκιμάζοντι.
his-own running-after and it to-catch trying
Δαίμονες κενοδοξίας καθ' ὕπνους προφῆται, τὰ
demons of-vainglory in sleep prophets the-things
μέλλοντα ὡς πανοῦργοι τεκμαιρόμενοι, καὶ ταῦτα ἡμῖν
coming as crafty(-ones) conjecturing and these(-things) to-us
προευαγγελιζόμενοι· τῶν ὁραμάτων πεπληρωμένων ἡμεῖς
foretelling the visions having-been-fulfilled we
ἐθαμβήθημεν, καὶ ὡς πλησίον τοῦ προγνωστικοῦ λοιπὸν
were-amazed and as near to-the of-foreknowledge thereafter
ὑπάρχοντες χαρίσματος, τὸν λογισμὸν ἀνυψώσωμεν. Ἐν
being gift the thought we-exalt among
τοῖς πειθομένοις τῷ δαίμονι πολλάκις προφήτης ἐγένετο·
those obeying the demon often prophet he-became
ἐν τοῖς δὲ ἐξουθενοῦσιν αὐτόν, ἀεὶ ἐψεύσατο. Πνεῦμα
among those but despising him always he-lied spirit
ὂν τὰ ἐντὸς τοῦ ἀέρος τούτου ἑώρακεν, καὶ νοήσας
being the-things within the air this he-has-seen and having-perceived
αὐτὸν θνήσκοντα, δι' ἐνυπνίου ἐν τοῖς κουφοτέροις
him dying through a-dream among the lighter(-ones)
προεφήτευσεν· οὐδὲν τῶν μελλόντων ἐκ προγνώσεως
he-prophesied nothing of-the-things coming from foreknowledge
οἴδασιν· ἐπεὶ οἱ φαρμακοὶ ἡμῖν καὶ τὸν θάνατον προλέγειν
they-know since the sorcerers to-us also the death to-foretell
ἐδύναντο. Εἰς ἄγγελον φωτὸς καὶ μαρτύρων εἶδος πολλάκις
could into an-angel of-light and of-martyrs form often
μετασχηματίζονται, καὶ ἡμᾶς προσερχομένους αὐτοῖς καθ'
they-transform-themselves and us approaching them in
ὕπνους ὑπέδειξαν· διυπνισθέντας δὲ χαρᾷ, καὶ οἰήσει
sleep they-showed having-woken and with-joy and conceit
κατεβάπτισαν. Τοῦτο δή σοι ἔσται τὸ σημεῖον πλάνης·
they-drenched this indeed to-you will-be the sign of-deception

κολάσεις καὶ κρίσεις, καὶ χωρισμοὺς ὑποδεικνύουσιν ἄγγελοι·
punishments and judgments and separations show angels
διυπνισθέντας ἐντρόμους, καὶ σκυθρωποὺς ἀπεργάζονται.
having-woken trembling and gloomy they-make
Ὁπόταν ἐν τοῖς ὕπνοις τοῖς δαίμοσι πείθεσθαι ἀρξώμεθα,
whenever in the sleep to-the demons to-obey we-begin
τότε λοιπὸν καὶ ἐγρηγορότας ἐμπαίζουσιν.
then thereafter also awake they-mock
Ὁ ἐνυπνίοις πεισθεὶς εἰς ἅπαν ἀδόκιμος. Ὁ 4
the(-one) in-dreams having-believed in all untested the(-one)
δὲ πᾶσιν ἀπιστῶν, φιλόσοφος οὗτος· πᾶσί σοι τοῖς
but in-all disbelieving philosopher this all you those
κόλασιν, καὶ κρίσιν εὐαγγελιζομένοις πίστευε μόνοις· εἰ
punishments and judgment announcing believe alone if
δὲ ἀπόγνωσίς σοι διενοχλεῖ, καὶ ταῦτα ἐκ δαιμόνων.
but despair you troubles also these(-things) from demons
Ὁ τρίτος Τριάδος ἰσάριθμος δρόμος· ὁ ἐπιβεβηκὼς 5
the third of-(the)-Trinity equal-in-number course the(-one) having-set-foot
μὴ περιβλέψῃ δεξιά, ἢ ἀριστερά.
not let-him-look-around right or left

The step turns to the athletes of Christ: obedience is the grave of the will, a carefree danger and a sleeping journey. A novice should test his guide before entering, and afterward never judge him. John recounts what he saw in a community where he stayed: a robber who, on the shepherd's order, confessed every sin before three hundred and thirty brethren and was forgiven; the brethren's constant watch over their speech; the cook who kept the fire of the kitchen before him as a reminder of the fire to come; and Isidore, a former magistrate, who spent seven years at the gate asking prayers as an epileptic, begged to be left there when the shepherd would have made him a brother, and died ten days later, having told John how his bitterness at the gate became a sense of unworthiness.

1 Πρὸς τοὺς πύκτας ἡμῖν λοιπόν, καὶ τοῦ Χριστοῦ ἀθλητὰς
to the boxers for-us thereafter and — of-Christ athletes
περιὼν ὁ λόγος εὐθέτως κατήντησεν. Παντὸς μὲν γὰρ
proceeding the discourse fittingly has-arrived of-every indeed for
καρποῦ προηγεῖται ἄνθος· πάσης δὲ ὑπακοῆς ξενιτεία, ἢ
fruit goes-before a-flower of-all and obedience exile either
σώματος, ἢ θελήματος. Ἐν ταῖς δυσὶ γὰρ ταύταις ἀρεταῖς,
of-body or of-will in the two for these virtues
ὥσπερ ἐν χρυσαῖς πτέρυξι πρὸς τὸν οὐρανὸν ἀόκνως
as on golden wings to the heaven unhesitatingly
ἀνέρχεται ἡ ὁσία. Καὶ ἴσως περὶ αὐτῆς πνευματοδόχος
ascends the holy(-soul) and perhaps about it spirit-bearing
τις ἐμελῴδησε. Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς,
someone sang who will-give me wings as-of a-dove
καὶ πετασθήσομαι διὰ πρακτικῆς, καὶ καταπαύσω διὰ
and I-will-fly through (the)-practical-life and I-will-rest through
θεωρίας καὶ ταπεινώσεως; Μηδ' αὐτὸ τὸ σχῆμα, εἰ
contemplation and humility not-even the-very the garb if
δοκεῖ, τῶν ἀνδρείων τούτων πολεμιστῶν παραδράμωμεν
it-seems-good of-the brave these warriors let-us-pass-over

τῷ λόγῳ κατάδηλον ποιήσασθαι, πῶς τε τὸν θυρεὸν
in-the discourse clear to-make how both the shield
κατέχουσι τῆς πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν γυμναστὴν
they-hold of-the toward — God and toward the trainer
πίστεως, ἐν αὐτῷ ὡς εἰπεῖν πάντα ἀπιστίας ἢ μεταβάσεως
faith in it so-to speak every of-unbelief or of-change
λογισμὸν ἀπωθούμενοι, τήν τε μάχαιραν τοῦ πνεύματος
thought thrusting-away the and sword of-the spirit
ἀνατείνοντες διηνεκῶς, καὶ πᾶν ἑαυτῶν θέλημα πλησιάζον
brandishing continually and every their-own will approaching
αὐτοῖς ἀποκτείνοντες, θώρακάς τε σιδηροῦς πραότητος,
them killing breastplates and iron of-meekness
καὶ ὑπομονῆς ἠμφιεσμένοι, πᾶσαν ὕβριν καὶ κέντησιν, καὶ
and patience clothed-in every insult and sting and
βολίδα ἑαυτῶν δι᾽ αὐτῶν ἀποκρουόμενοι· ἔχουσί τε καὶ
dart from-themselves through them repelling they-have and also
περικεφάλαιον σωτηρίου τὴν τοῦ προεστῶτος δι᾽ εὐχῆς
helmet of-salvation the of-the superior through prayer
σκέπην. Ἵστανται δὲ σύμποδες οὐδ᾽ ὅλως, ἀλλὰ τὸ μὲν
protection they-stand and with-feet-together not at-all but the-one indeed
εἰς διακονίαν προτείνοντες, τὴν δὲ ἐπὶ προσευχὴν ἀκίνητον
in service stretching-out the-other and at prayer unmoved
ἔχοντες. Ὑπακοή ἐστιν ἄρνησις ψυχῆς οἰκείας παντελὴς
holding obedience is denial of-soul own complete
διὰ σώματος ἐπιδεικνυμένη ἐνεργῶς. Ἢ τάχα τὸ ἔμπαλιν,
through (the)-body displayed actively or perhaps the reverse
ὑπακοή ἐστι· νέκρωσις μελῶν ἐν ζώσῃ διανοίᾳ. Ὑπακοή
obedience is mortification of-limbs in a-living mind obedience
ἐστιν ἀνεξέταστος κίνησις, ἑκούσιος θάνατος, ἀπερίεργος
is unquestioning movement willing death uncurious
ζωή, ἀμέριμνος κίνδυνος, ἀμελέτητος Θεοῦ ἀπολογία·
life carefree danger unpremeditated of-God defense

ἀφοβία θανάτου, ἀκίνδυνος πλοῦς, ὑπνοῦσα ὁδοιπορία.
fearlessness of-death safe voyage sleeping journey
Ὑπακοή ἐστι μνῆμα θελήσεως, καὶ ἔγερσις ταπεινώσεως·
obedience is a-tomb of-will and a-rising of-humility
οὐκ ἀντερεῖ, ἢ διακρίνει νεκρὸς ἐν ἀγαθοῖς, ἢ τὸ
not he-will-contradict or discern a-dead-man in good-things or the
δοκεῖν πονηροῖς. Ὁ γὰρ θανατώσας αὐτοῦ εὐσεβῶς
seeming evil-things the(-one) for having-put-to-death his piously
τὴν ψυχήν, ὑπὲρ πάντων ἀπολογήσεται. Ὑπακοή ἐστιν
the soul for all-things will-answer obedience is
ἀπόθεσις διακρίσεως ἐν πλούτῳ διακρίσεως, ἀρχὴ μὲν
a-laying-aside of-discernment in wealth of-discernment (the)-beginning indeed
νεκρώσεως, καὶ ψυχῆς θελήματος, καὶ μέλους σώματος
of-mortification both of-(the)-soul's will and of-limb of-body
πόνος· μεσότης δέ ποτε μὲν πόνος, ποτὲ δὲ ἀπονία·
pain the-middle and sometimes indeed pain sometimes and painlessness
τέλος δὲ ἀναισθησία λοιπὸν πᾶσα, καὶ ἀκινησία πόνου·
(the)-end and insensibility thereafter all and motionlessness of-pain
τότε πονῶν ὁρᾶται, καὶ ἀλγυνόμενος ὁ ζῶν νεκρὸς οὗτος
then toiling is-seen and suffering the living dead-man this
ὁ μακαρίτης, ὅταν ἑαυτὸν ὄψεται τὸ οἰκεῖον ποιοῦντα
the blessed(-one) when himself he-sees the own doing
θέλημα, δεδοικότα τὴν βασταγὴν τοῦ ἑαυτοῦ κρίματος.
will fearing the burden of-the own judgment
2 Ὅσοι πρὸς τὸ στάδιον τῆς νοερᾶς ὁμολογίας ἐπεχειρήσατε
you-who toward the stadium of-the spiritual confession have-undertaken
ἀποδύσασθαι· ὅσοι τὸν τοῦ Χριστοῦ ζυγὸν ἐπὶ τὸν οἰκεῖον
to-strip you-who the — of-Christ yoke upon the own
αὐχένα ἆραι βούλεσθε· ὅσοι ἐκ τούτου τὸ ἑαυτῶν φορτίον
neck to-lift wish you-who from this the your-own burden
ἐπὶ τὸν τοῦ ἑτέρου τράχηλον ἐπιθεῖναι σπουδάζετε· ὅσοι
upon the of-the other neck to-lay are-eager you-who

τὰς ἑαυτῶν ὠνὰς γράψαι ἑκουσίως σπεύδετε, καὶ ἀντ᾽
the your-own bills-of-sale to-write willingly hasten and in-return-for
ἐκείνων ἐλευθερίαν γραφῆναι ὑμῖν βούλεσθε· ὅσοι χερσὶν
those freedom to-be-written for-you wish you-who by-hands
ἑτέρων ἀνυψούμενοι νηχόμενοι τὸ μέγα τοῦτο περαιοῦσθε
of-others lifted-up swimming the great this cross
πέλαγος, γνῶτε ὡς σύντομόν τινα, καὶ τραχεῖαν ὁδὸν
sea know that a-short some and rough road
βαδίζειν ἐπεχειρήσατε, μίαν πλάνην καὶ μόνην ἐν αὐτῇ
to-walk you-have-undertaken one error and only in it
κεκτημένοι, αὕτη δὲ καλεῖται ἰδιορυθμία· ὁ γὰρ ταύτην
having this and is-called self-will the(-one) for this
εἰς ἅπαν ἀπαρνησάμενος, ἐν οἷς δοκεῖ εἶναι καλοῖς, καὶ
in all having-denied in what seem to-be good and
πνευματικοῖς, καὶ θεαρέστοις πρὸ τοῦ βαδίζειν ἔφθασεν.
spiritual and God-pleasing before the to-walk has-arrived
Ὑπακοὴ γάρ ἐστιν ἀπιστία ἑαυτῷ ἐν τοῖς καλοῖς ἅπασι
obedience for is distrust of-oneself in the good-things all
μέχρι τέλους ζωῆς. Μέλλοντες ἐν Κυρίῳ τὸν ἑαυτῶν
until (the)-end of-life being-about in (the)-Lord the our-own
αὐχένα κλίνειν, σκοπῷ μὲν καὶ λόγῳ ταπεινοφροσύνης,
neck to-bend with-aim indeed and reason of-humility
καὶ κυρίως τὴν ἡμῶν σωτηρίαν ἑτέρῳ, ἐν Κυρίῳ πιστεύειν·
and properly the our salvation to-another in (the)-Lord to-entrust
πρὸ μὲν τῆς εἰσόδου, εἴπερ τις πονηρία, καὶ φρόνησις
before indeed the entry if-indeed any cunning and prudence
παρ᾽ ἡμῖν τυγχάνει, τὸν κυβερνήτην ἀνακρίνωμεν, καὶ
with us happens-to-be the helmsman let-us-question and
ἐξετάσωμεν, καί, ἵν᾽ οὕτως εἴπω, πειράσωμεν, ἵνα μὴ
examine and that thus I-may-say let-us-test that not
τῷ ναύτῃ ὡς κυβερνήτῃ, καὶ τῷ νοσοῦντι ὡς ἰατρῷ,
to-the sailor as to-a-helmsman and to-the sick as to-a-physician

καὶ τῷ ἐμπαθεῖ ὡς ἀπαθεῖ, καὶ τῷ πελάγει ὡς
and to-the passionate as to-a-dispassionate and to-the open-sea as
λιμένι περιπεσόντες, ἕτοιμον ἑαυτῆς εὑρήσωμεν ναυάγιον.
to-a-harbor falling-in ready for-itself we-find shipwreck
Μετὰ δὲ τὴν ἐν τῷ σταδίῳ λοιπὸν τῆς εὐσεβείας, καὶ
after but the in the stadium thereafter of-the piety and
ὑποταγῆς εἴσοδον, μηκέτι τὸν καλὸν ἡμῶν ἀγωνοθέτην
submission entry no-longer the good our judge-of-the-contest
ἔν τινι τὸ σύνολον ἀνακρίνωμεν, κἄν τινα ἐν αὐτῷ ὡς
in anything at all let-us-question even-if some in him as
ἐν ἀνθρώπῳ ἴσως ἔτι βραχέα πλημμελήματα θεασώμεθα.
in a-man perhaps still small faults we-behold
Εἰ δὲ μή, οὐδὲν ἐκ τῆς ὑποταγῆς οἱ ἀνακρίνοντες
if but not nothing from the submission we-the(-ones) questioning
ὠφελούμεθα. Ἀνάγκη πᾶσα τοὺς βουλομένους ἐν τοῖς
are-benefited necessity all those wishing in the
ἐπιστατοῦσι πίστιν ἀδίστακτον διὰ παντὸς κατέχειν, τὰ
superiors faith undoubting through all(-time) to-hold the
τούτων κατορθώματα ἐν τῇ αὐτῶν καρδίᾳ ἀνεξάλειπτα,
their achievements in the their heart indelible
καὶ ἀείμνηστα φυλάττειν, ἵνα ὅτε οἱ δαίμονες ἡμῖν
and ever-remembered to-guard that when the demons in-us
ἀπιστίαν πρὸς αὐτοὺς σπείρωσιν, ἐκ τῶν ἐν ἡμῖν
distrust toward them sow from the-things in us
μνημονευομένων ἀποφιμώσωμεν. Καθόσον γὰρ ἡ πίστις
remembered we-may-muzzle-them in-so-far-as for the faith
θάλλει ἐν τῇ καρδίᾳ, κατὰ τοσοῦτον καὶ τὸ σῶμα σπεύδει
flourishes in the heart by so-much also the body hastens
ἐν τῇ διακονίᾳ. Ἐπὰν δὲ εἰς ἀπιστίαν προσκόψῃ, ἔπεσε·
in the service when but on distrust it-stumbles it-has-fallen
Πάντως γὰρ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν. Ἐπάν
surely for what not from faith sin is when

σε ὁ λογισμὸς ἀνακρῖναι, ἢ κατακρῖναι τὸν προηγούμενον
you the thought to-question or to-condemn the superior
ὑποβάλλῃ, ὡς ἀπὸ πορνείας ἀποπήδησον· μηδ᾽ ὅλως τῷ
suggests as from fornication leap-away not-even at-all to-the
ὄφει τούτῳ παράσχῃς ἄδειαν· μὴ τόπον, μὴ εἴσοδον, μὴ
serpent this give license not place not entry not
ἀρχήν. Φθέγγου δὲ πρὸς τὸν δράκοντα· Ὦ ἀπατεών· οὐκ
beginning say but to the dragon O deceiver not
ἐγὼ τοῦ ἄρχοντος, ἀλλ᾽ αὐτὸς τὸ ἐμὸν κρῖμα ἀνεδέξατο·
I of-the ruler but he-himself the my judgment has-taken-on
οὐκ ἐγὼ ἐκείνου, ἀλλ᾽ αὐτὸς ἐμοῦ κριτὴς καθέστηκεν.
not I of-him but he-himself of-me judge is
Ὅπλον μὲν οἱ Πατέρες τὴν ψαλμῳδίαν, τὴν δὲ προσευχὴν
a-weapon indeed the Fathers the psalmody the and prayer
τεῖχος, λουτῆρα δὲ τὸ ἄμωμον δάκρυον εἶναι ὁρίζονται· τὴν
a-wall a-laver and the blameless tear to-be they-define the
δὲ μακαρίαν ὑπακοὴν ὁμολογίαν ἔκριναν, ἧς χωρὶς οὐδεὶς
and blessed obedience confession they-judged which without no-one
τῶν ἐμπαθῶν ὄψεται τὸν Κύριον· ὁ ὑποτακτικὸς αὐτὸς τὴν
of-the passionate will-see the Lord the obedient-one himself the
ψῆφον καθ᾽ ἑαυτοῦ ἐκφέρει εἰ μὲν διὰ Κύριον τελείως
verdict against himself brings-forth if indeed because-of (the)-Lord perfectly
ὑπακούσει, εἰ καὶ μὴ δόξει τελείως, τὸ ἑαυτοῦ κρῖμα
he-will-obey if even not he-will-seem perfectly the own judgment
ἐξεδύσατο. Εἰ δὲ τὸ ἑαυτοῦ ἔν τισιν ἐκπληροῖ θέλημα,
he-has-put-off if but the own in some-things he-fulfills will
ἢ καὶ δόξει ὑπακούειν, αὐτὸς τὸ φορτίον ἐπιφέρεται·
or even he-will-seem to-obey he-himself the burden bears
εἰ μέντοι αὐτὸν ἐλέγχων ὁ προεστὼς οὐκ ἐπαύσατο, εὖ
if however him rebuking the superior not ceased well
ἂν ἔχοι· εἰ δὲ σεσιώπηκε, τί λέγειν οὐκ ἔχω. Οἱ ἐν
— it-would-be if but he-has-kept-silent what to-say not I-have those in

ἁπλότητι ὑποτασσόμενοι ἐν Κυρίῳ καλὸν δρόμον περαιοῦσι,
simplicity submitting in (the)-Lord a-good course complete
μὴ κεκινηκότες ἑαυτοῖς δι᾽ ἀκριβολογίαν τὴν τῶν
not having-stirred-up against-themselves because-of hair-splitting the of-the
δαιμόνων πανουργίαν. Πρὸ πάντων ἐξομολογησώμεθα τῷ
demons villainy before all-things let-us-confess to-the
καλῷ ἡμῶν δικαστῇ καὶ μόνῳ, εἰ δὲ κελεύει καὶ πᾶσι·
good our judge and alone if but he-orders also to-all
μώλωπες γὰρ θριαμβευόμενοι, οὐ προκόψουσιν ἐπὶ τὸ
wounds for being-displayed not will-advance to the
χεῖρον, ἀλλ᾽ ἰαθήσονται. Φοβερόν που παραγενόμενος ἐν
worse but will-be-healed fearful somewhere having-come in
κοινοβίῳ καλοῦ κριτοῦ, καὶ ποιμένος ἑώρακα κριτήριον.
a-community of-a-good judge and shepherd I-have-seen judgment
3 Τετύχηκε γάρ μου ἐκεῖσε ὑπάρχοντος, τινὰ ἐκ λῃστρικῆς
it-happened for me there being someone from a-robber's
τάξεως τῇ μοναδικῇ προσελθεῖν πολιτείᾳ, ὃν ὁ ἄριστος
rank to-the monastic to-come way-of-life whom the best
ἐκεῖνος ποιμήν, καὶ ἰατρὸς ἐκέλευσεν ἐπὶ ἡμέρας ἑπτὰ
that shepherd and physician ordered for days seven
ἀναπαύσεως ἁπάσης ἀπολαῦσαι πρὸς θεωρίαν καὶ μόνην
rest of-all to-enjoy for observation and only
τῆς ἐν τόπῳ καταστάσεως. Μετὰ οὖν τὴν ἑβδόμην
of-the in place state after then the seventh
προσκαλεσάμενος αὐτὸν κατ᾽ ἰδίαν ὁ ποιμὴν ἠρώτα, εἰ
having-summoned him in private the shepherd asked if
ἀρεστὸν αὐτῷ τὴν συνοίκησιν μετ᾽ αὐτῶν ποιήσασθαι· ὡς
pleasing to-him the dwelling-together with them to-make as
δὲ συνθέμενον αὐτὸν μετὰ πάσης εἰλικρινείας ἐθεάσατο,
and agreeing him with all sincerity he-beheld
πάλιν ἠρώτα τί αὐτῷ ἄτοπον ἐν τῷ κόσμῳ πέπρακται.
again he-asked what by-him amiss in the world had-been-done

Ὡς δὲ οἶδεν αὐτὸν σὺν τῷ λόγῳ πάντων προθύμως
as and he-knew him with the word of-all-things eagerly
ἐξομολογησάμενον· πάλιν πρὸς αὐτὸν πειράζων ἔλεγε·
having-confessed again to him testing he-said
Βούλομαί σε, φησίν, ἐπὶ πάσης τῆς ἀδελφότητος ταῦτα
I-wish you he-says before all the brotherhood these(-things)
θριαμβεῦσαι. Ὁ δὲ ὄντως τὴν ἑαυτοῦ ἁμαρτίαν μισήσας
to-display he but truly the own sin having-hated
ἐκεῖνος, καὶ αἰσχύνης ἁπάσης καταφρονήσας ἀδιστάκτως
that-man and shame all having-despised without-hesitation
ὑπέσχετο· καὶ εἰ βούλει, φησί, κατὰ μέσον Ἀλεξάνδρου
promised and if you-wish he-says in the-middle of-Alexandria
τῆς πόλεως. Εἶτα συναθροίζει ὁ ποιμὴν ἐν τῷ Κυριακῷ
the city then gathers the shepherd in the Lord's-house
πάντα τὰ πρόβατα τὸν ἀριθμὸν τριακόσια τριάκοντα, καὶ
all the sheep the number three-hundred thirty and
τῆς θείας συνάξεως τελουμένης· ἦν γὰρ Κυριακὴ τῶν
of-the divine synaxis being-celebrated it-was for Lord's-day of-the
ἡμερῶν, μετὰ τὴν συμπλήρωσιν τοῦ Εὐαγγελίου εἰσφέρει
days after the completion of-the Gospel he-brings-in
λοιπὸν τὸν ἄμεμπτον κατάδικον ἐκεῖνον ὑπό τινων ἀδελφῶν
thereafter the blameless convict that by some brothers
συρόμενον καὶ μετρίως τυπτόμενον, τὰς χεῖρας δι' ὄπισθεν
dragged and moderately beaten the hands from behind
δεδεμένον, καὶ σάκκον τρίχινον ἠμφιεσμένον, καὶ σποδὸν
bound and sackcloth of-hair clothed-in and ashes
ἐπὶ τῆς κεφαλῆς, ὡς καὶ ἐξ αὐτῆς τῆς θεωρίας ἅπαντας
on the head so-that also from the-very the sight all
καταπλαγέντας εὐθέως τῷ κλαυθμῷ ἀλαλάξαι· οὐ γὰρ
having-been-struck at-once with-the weeping to-cry-out not for
ἔγνω τις τὸ γινόμενον. Εἶτα ὡς πλησίον τῶν τῆς
knew anyone the thing-happening then as near the of-the

ἐκκλησίας πυλῶν ἔφθασε, προσφωνεῖ αὐτῷ ἡ ἱερὰ ἐκείνη
church gates he-arrived calls to-him the holy that
τοῦ φιλανθρώπου κεφαλὴ μεγάλῃ τῇ φωνῇ· Στῆθι, ἀνάξιος
of-the benevolent(-one) head with-great the voice stop unworthy
γὰρ ὑπάρχεις τῆς ἐνταῦθα εἰσόδου. Ἐκπλαγεὶς οὖν ἐπὶ τῇ
for you-are of-the here entry astonished then at the
τοῦ ποιμένος ἐξ ἱερατείου ἐναχθείσῃ πρὸς αὐτὸν φωνῇ·
of-the shepherd from the-sanctuary brought toward him voice
ἐνόμιζε γάρ, ὡς ἔσχατον ἡμᾶς ὅρκοις ἐπληροφόρει, οὐκ
he-thought for as at-last us with-oaths he-assured not
ἀνθρώπου, ἀλλὰ βροντῆς ἀκηκοέναι· πίπτει μὲν εὐθέως
of-a-man but of-thunder to-have-heard he-falls indeed at-once
ἐπὶ πρόσωπον ἔντρομος γενόμενος, καὶ ὅλος τῷ φόβῳ
on face trembling having-become and wholly with-the fear
κλονηθείς. Χαμαὶ τοίνυν ὑπάρχων, καὶ τὸ ἔδαφος τοῖς
shaken on-the-ground therefore being and the floor with-the
δάκρυσι βρέχων, ἐπιτρέπεται πάλιν παρὰ τοῦ θαυμασίου
tears wetting he-is-allowed again by the wonderful
ἰατροῦ τοῦ τὴν σωτηρίαν αὐτοῦ ἐν ἅπασι πραγματευομένου,
physician the the salvation his in all-things working-out
καὶ τύπον σωτηρίας καὶ ἐνεργοῦς ταπεινώσεως πᾶσι
and a-pattern of-salvation and of-active humility to-all
παρέχοντος, εἰπεῖν πάντα τὰ πεπραγμένα αὐτῷ κατ᾽
providing to-tell all the-things done by-him in
εἶδος ἐπὶ πάντων. Ὁ δὲ μετὰ φρίκης ἐξομολογεῖ τὰ
detail before all he but with shuddering confesses the
ἅπαντα καθ᾽ ἓν πᾶσαν ἀκοὴν ξενίζονται· οὐ μόνον τὰ
all-things one-by one every hearing are-astonished not only the
σωματικὰ κατὰ φύσιν, καὶ παρὰ φύσιν, ἐν λογικοῖς
bodily-things according-to nature and against nature among rational
τε ζώοις, καὶ ἀλόγοις· ἀλλά γε καὶ ἄχρι φαρμακειῶν,
both creatures and irrational but at-least also as-far-as sorceries

καὶ φόνων, καὶ ἑτέρων, ὧν οὐ θέμις ἀκοῦσαι, ἢ γραφῇ
and murders and other-things which not right to-hear or to-writing
παραδοῦναι. Ἐξομολογησάμενον τοίνυν ἐπιτρέπει εὐθέως
to-commit having-confessed therefore he-permits at-once
ἀποκαρθῆναι, καὶ τοῖς ἀδελφοῖς συγκαταριθμηθῆναι. Ἐγὼ
to-be-tonsured and to-the brothers to-be-numbered-with I
δὲ τὴν τοῦ ὁσίου ἐκείνου θαυμάσας σοφίαν, ἠρώτων ἰδίᾳ,
but the of-the holy that having-admired wisdom asked privately
τίνος χάριν τὸ τοιοῦτον ξένον σχῆμα πεποίηκεν. Ὁ δὲ
of-what for-the-sake the such strange form he-had-made he but
ὄντως ἰατρός· Δύο τούτων χάριν, φησίν· πρῶτον μὲν
truly physician two of-these for-the-sake he-says first indeed
ἵν' αὐτὸν ἐξομολογησάμενον διὰ τῆς παρούσης αἰσχύνης,
that him having-confessed through the present shame
τῆς μελλούσης ἀπαλλάξω, ὅπερ καὶ γέγονεν. Οὐ γὰρ
from-the future I-may-free which also happened not for
ἀνέστη τοῦ ἐδάφους, ὦ ἀδελφὲ Ἰωάννης, ἄχρις οὗ τῆς
he-rose from-the floor O brother John until — of-the
πάντων ἀφέσεως τετύχηκε· καὶ μὴ ἀπίστει· τὶς γάρ
of-all forgiveness he-obtained and not disbelieve someone for
μοι τῶν ἐκεῖσε τυγχανόντων τεθάῤῥηκεν ἀδελφὸς λέγων·
me of-those there being has-confided brother saying
ὅτι, φησίν, ἐθεώρουν τινὰ φοβερὸν κατέχοντα χάρτην
that he-says I-beheld someone dreadful holding a-paper
γεγραμμένον, καὶ κάλαμον· καὶ ἅμα, φησί, τὴν ἁμαρτίαν
written and a-reed and as-soon he-says the sin
ὁ κείμενος ἔλεγε, ταύτην ἐκεῖνος τῷ καλάμῳ
the(-one) lying said it that-one with-the reed
ἐχάραττεν, καὶ εἰκότως· Εἶπα γάρ, φησίν· Ἐξαγορεύσω
struck-out and rightly I-said for he-says I-will-declare
κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ· καὶ σὺ ἀφῆκας
against me the lawlessness my to-the Lord and you forgave

τὴν ἀσέβειαν τῆς καρδίας μου. Δεύτερον δέ, ἐπειδή τινας
the impiety of-the heart my second and since some
κέκτημαι ἀνεξαγόρευτα πταίσματα ἔχοντας, καὶ διὰ
I-have unconfessed failings having and because-of
τοῦτο λοιπὸν ἐκείνους εἰς ἐξομολόγησιν προτρεπόμενος,
this thereafter those to confession urging
ἧς χωρὶς οὐδεὶς ἀφέσεως τεύξεται· καὶ ἕτερα μὲν
which without no-one forgiveness will-obtain and other-things indeed
οὖν πολλὰ ἀξιοθαύμαστα, καὶ ἀξιομνημόνευτα παρὰ τῷ
then many wonderful and memorable with the
ἀειμνήστῳ ἐκείνῳ ἑώρακα ποιμένι, καὶ ποίμνῃ, ὧν
ever-remembered that I-have-seen shepherd and flock of-which
τὰ πλεῖστα ὑμῖν κατάδηλα ποιῆσαι πειράσομαι· ἔμεινα
the most to-you clear to-make I-will-try I-remained
γὰρ παρ᾽ αὐτῷ χρόνον οὐκ ὀλίγον τὴν αὐτῶν ἀνιχνεύων
for with him time not little the their tracing
πολιτείαν, καὶ ἐπὶ ταύτῃ μεγάλως ἐξιστάμενος, πῶς τε
way-of-life and at it greatly being-amazed how and
οἱ ἐπίγειοι ἐκεῖνοι τοὺς οὐρανίους ἐμιμοῦντο.
the earthly(-ones) those the heavenly(-ones) imitated

4 Ἦν μὲν οὖν ἀγάπη παρ᾽ αὐτοῖς δεσμὸς ἄλυτος· καὶ
there-was indeed then love among them a-bond unbreakable and
τὸ δὴ θαυμαστότερον, πάσης παῤῥησίας καὶ ἀργολογίας
the indeed more-wonderful from-all license and idle-talk
ἀπηλλαγμένη. Ἤσκουν δὲ πρὸ πάντων τοῦτο, τὸ μὴ πλῆξαι
freed they-practiced and before all-things this the not to-wound
ἀδελφοῦ τὴν συνείδησιν ἔν τινι. Εἰ δέ που ἐφάνη τις
of-a-brother the conscience in anything if but anywhere appeared anyone
μισάλληλος, τοῦτον ὁ ποιμὴν ἐν τῷ ἀφοριστικῷ μοναστηρίῳ
hating-his-fellows him the shepherd in the separating monastery
ὡς κατάκριτον ἐξώριζεν. Ποτὲ δέ τινος τῶν ἀδελφῶν, πρὸς
as condemned banished once and some of-the brothers to

αὐτὸν τὸν πλησίον λοιδορήσαντος, παραυτίκα διωχθῆναι
him the neighbor having-reviled at-once to-be-driven-out
αὐτὸν ὁ πανόσιος προσέταξε, λέγων μὴ συγχωρεῖν εἶναι
him the all-holy(-one) ordered saying not to-allow to-be
ἐν τῇ μονῇ ὁρατόν, καὶ ἀόρατον διάβολον. Εἶδον ἐγὼ
in the monastery visible and invisible devil I-saw I
παρὰ τοῖς ὁσίοις ἐκείνοις ὀνησιφόρα, καὶ ἀξιάγαστα ὄντως
among the holy those profitable and admirable truly
πράγματα· ἀδελφότητά τε κατὰ Κύριον συγγεγενημένην,
things a-brotherhood both according-to (the)-Lord gathered
καὶ συνδεδεμένην, θαυμαστὴν κεκτημένην, καὶ τὴν ἐργασίαν,
and bound-together wonderful possessing both the work
καὶ τὴν θεωρίαν. Οὕτως γὰρ ἑαυτοὺς τοῖς θείοις ἐξέτριβον,
and the contemplation thus for themselves in-the divine they-exercised
καὶ ἐγύμναζον κατορθώμασιν, ὡς μὴ δεῖσθαι σχεδὸν τῆς
and trained achievements so-that not to-need nearly the
τοῦ προεστηκότος ὑπομνήσεως· ἀλλ᾽ ἰδιαιτέρως ἀλλήλους
of-the superior reminder but of-their-own-accord one-another
πρὸς τὴν θείαν διυπνίζειν ἐγρήγορσιν. Ἦν γὰρ αὐτοῖς
to the divine to-rouse wakefulness there-were for for-them
ὡρισμένα τε, καὶ μεμελετημένα, καὶ πεπαγιωμένα ὅσιά
fixed both and practiced and established holy
τινα, καὶ θεῖα γυμνάσματα. Εἰ ἔδοξε γάρ τινα αὐτῶν ποτε
some and divine exercises if it-seemed for some of-them ever
τοῦ προεστῶτος μὴ παρόντος λοιδορίας, ἢ κατακρίσεως,
the superior not being-present of-reviling or of-condemnation
ἢ ὅλως ἀργολογίας ἄρξασθαι, νεύματι αὐτὸν ἀγνώστως
or at-all of-idle-talk to-begin by-a-nod him unnoticed
ἀδελφός τις ἕτερος ὑπομιμνήσκων λεληθότως κατέπαυεν.
brother some other reminding secretly stopped
Εἰ δὲ καὶ οὐκ ᾔσθετο ἴσως, βαλὼν λοιπὸν μετάνοιαν
if but also not he-perceived perhaps having-made thereafter penitence

ὁ ὑπομνήσας ἀνεχώρει. Ἦν δὲ αὐτοῖς ἄληκτος
the(-one) having-reminded withdrew there-was and among-them unceasing
(εἰ δέοιτο φθέγξασθαι) καὶ ἄπαυστος συλλαλία, ἡ τοῦ
if it-were-needed to-speak and unending conversation the of-the
θανάτου ἀνάμνησις, καὶ κρίσεως αἰωνίου ἔννοια.
death remembrance and of-judgment eternal thought
5 Οὐ σιωπήσω ὑμῖν φράσαι τοῦ ὀψοποιοῦ τῶν αὐτόθι τὸ
not I-will-keep-silent to-you to-tell of-the cook of-those there the
παραδοξότατον κατόρθωμα. Ὁρῶν γὰρ αὐτὸν ἀέννaον ἐν τῇ
most-marvelous achievement seeing for him ceaseless in the
διακονίᾳ κεκτημένον τὴν σύννοιαν, καὶ τὸ δάκρυον, ἱκέτευον
service having the recollection and the tear I-begged
ἐπαγγεῖλαί μοι, πόθεν τῆς τοιαύτης χάριτος ἠξιώθη.
to-announce to-me whence of-the such grace he-was-deemed-worthy
Ὁ δὲ βιασθεὶς παρ' ἐμοῦ ἀπεκρίνατο· Οὐδέποτε, φησίν,
he but compelled by me answered never he-says
ἀνθρώποις με δουλεύειν ἐννενόηκα, ἀλλὰ τῷ Θεῷ· καὶ τῆς
to-men me to-serve I-have-thought but — to-God and of-the
ἡσυχίας πάσης ἀνάξιον ἑαυτὸν καταδικάσας, αὐτὴν τὴν
stillness all unworthy myself having-condemned the-very the
τοῦ πυρὸς θέας ὑπόμνησιν τῆς μελλούσης φλογὸς διὰ
of-the fire sight reminder of-the coming flame through
παντὸς κέκτημαι. Ἄλλου παραδόξου αὐτῶν ἀκουσώμεθα
all(-time) I-possess another marvelous of-them let-us-hear
κατορθώματος. Καὶ γὰρ οὐδὲ ἐπ' αὐτῆς τῆς τραπέζης,
achievement and for not-even at the-very the table
τῆς νοερᾶς ἐργασίας ἐπαύοντο. Σεσημειωμένῳ δὲ ἤθει
from-the spiritual work they-ceased by-a-signed and custom
τινὶ ἀγνώστῳ, καὶ νεύματι τῆς κατὰ ψυχὴν ἑαυτοὺς
some unknown and nod of-the in soul themselves
προσευχῆς ὑπεμίμνησκον οἱ μακάριοι· οὐκ ἐν τῇ τραπέζῃ
prayer reminded the blessed(-ones) not at the table

δὲ τοῦτο ποιοῦντες μόνον ἐφαίνοντο, ἀλλὰ καὶ κατὰ πᾶσαν
and this doing only they-appeared but also at every
ἑαυτῶν ἀπάντησίν τε καὶ σύνοδον. Εἴ ποτε δὲ παράπτωμά
their meeting both and gathering if ever and a-fault
τις αὐτῶν πεποίηκε, πλείστας ἱκεσίας παρὰ τῶν ἀδελφῶν
anyone of-them had-made very-many entreaties from the brothers
ἐδέχετο αὐτοῖς περὶ τούτου πρὸς τὸν ποιμένα καταλιπεῖν
he-received for-them about this to the shepherd to-leave
τὴν φροντίδα, καὶ ἀπολογίαν, καὶ ἐπίπληξιν· ὅθεν ὁ μέγας
the care and defense and rebuke whence the great(-one)
τὴν τῶν μαθητῶν ἐπιγνοὺς ἐργασίαν, κουφοτέρας λοιπὸν
the of-the disciples having-recognized work lighter thereafter
καὶ τὰς ἐπιτιμήσεις παρεῖχεν, ὡς γινώσκων ἀνεύθυνον
also the penances provided as knowing not-accountable
ὑπάρχειν τὸν ἐπιτιμώμενον· οὐ μέντοι καὶ ἐπεζήτει
to-be the(-one) being-rebuked not however also he-searched-out
τὸν κυρίως ἐπιπεσόντα τῷ πταίσματι. Ποῦ ποτε παρ᾽
the(-one) properly having-fallen-into the failing where ever among
ἐκείνοις ἐπεπολίτευτο ἀργολογίας, ἢ εὐτραπελίας ὑπόμνησις;
them had-its-citizenship of-idle-talk or jesting a-reminder
Καὶ εἴ πού τις τῶν ἐν αὐτοῖς ἀμφιβολίας πρὸς τὸν
and if anywhere anyone of-those among them of-dispute with the
πλησίον ἤρξατο, παριὼν ἕτερος, καὶ μετάνοιαν πεποιηκὼς
neighbor began passing-by another and penitence having-made
τὴν ὀργὴν διεσκέδαζεν. Εἰ δὲ μνησικακοῦντας ᾔσθετο,
the anger scattered if but bearing-grudges he-perceived
τῷ τὰ δεύτερα τοῦ προεστῶτος διέποντι τὴν ὁρμὴν
to-the(-one) the second-place of-the superior administering the impulse
ἀπήγγειλε, καὶ πρὸ τῆς ἡλίου δύσεως διαλλάττεσθαι
he-reported and before the of-the-sun setting to-be-reconciled
αὐτοὺς ἑαυτοῖς παρεσκεύαζεν. Εἰ δὲ σκληρυνόμενοι
them with-one-another he-made-ready if but hardening

ἐσκληρύνοντο, ἢ μὴ μεταλαμβάνειν τροφῆς ἄχρι τῆς
they-were-hardened either not to-partake of-food until the
διαλλαγῆς ἐπετιμῶντο· ἢ τῆς μονῆς ἐξεβάλλοντο.
reconciliation they-were-sentenced or from-the monastery they-were-cast-out
Ἦν δὲ ἡ ἀξιέπαινος καὶ αὕτη ἀκρίβεια παρ' αὐτοῖς
there-was and the praiseworthy also this strictness among them
οὐ μάτην ἐπιτελουμένη· ἀλλά γε τὸν καρπὸν πολὺν
not in-vain accomplished but at-least the fruit much
ποιοῦσα καὶ δηλοῦσα. Πολλοὶ γὰρ παρ' αὐτοῖς τοῖς ὁσίοις
making and showing many for among them the holy(-ones)
ἀνεδείχθησαν πρακτικοί τε καὶ διορατικοί, διακριτικοί
were-shown practical both and discerning-seers discerning
τε καὶ ταπεινόφρονες. Καὶ ἦν ἰδεῖν φοβερὸν ἐπ'
both and humble and it-was-possible to-see fearful among
ἐκείνοις, καὶ ἀγγελοπρεπὲς θέαμα· πολιὰς αἰδεσίμους, καὶ
them and angelic sight gray-heads venerable and
ἱεροπρεπεῖς δίκην νηπίων τῇ ὑπακοῇ ἐπιτρέχοντας, καὶ
sacred like children to-the obedience running and
καύχημα μέγιστον κεκτημένους τὴν ἑαυτῶν ταπείνωσιν.
boast greatest having the their-own humility
Ἑώρακα ἐκεῖσε ἄνδρας περὶ τὰ πεντήκοντα ἔτη ἐν
I-have-seen there men about the fifty years in
τῇ ὑπακοῇ ἔχοντας, οὓς ἱκέτευον μαθεῖν, τίνα ἐκ
the obedience having whom I-begged to-learn what from
τοῦ τοσούτου κόπου παραμυθίαν προσελάβοντο· ὧν
the so-great toil consolation they-had-gained of-whom
οἱ μὲν εἰς ἄβυσσον ταπεινοφροσύνης κατηντηκέναι
the(-ones) indeed to an-abyss of-humility to-have-arrived
λοιπὸν ἑαυτοὺς ἔφασκον, δι' ἧς πάντα πόλεμον εἰς
thereafter themselves said through which every war for
αἰῶνα διακρούονται· ἕτεροι δὲ τελείαν ἀναισθησίαν, καὶ
ever they-repel others and perfect insensibility and

ἀπόνοιαν ἐν λοιδορίαις, καὶ ὕβρεσι λοιπὸν ἔχειν ἔλεγον.
indifference in revilings and insults thereafter to-have said
Ἑώρακα ἑτέρους τῶν ἀειμνήστων ἐκείνων σὺν τῇ πολιᾷ
I-have-seen others of-the ever-remembered those with the gray-hair
τῇ ἀγγελοειδεῖ εἰς βαθυτάτην ἀκακίαν, καὶ ἁπλότητα
the angel-like into deepest innocence and simplicity
σεσοφισμένην, καὶ ἑκουσιόγνωμον, καὶ θεοκατόρθωτον
made-wise and freely-chosen and God-achieved
ἐληλακότας. Ὥσπερ γὰρ ὁ πονηρὸς δύο ἐστίν, ἄλλο τὸ
having-driven just-as for the wicked(-man) two is other the
φαινόμενον, καὶ ἄλλο τὸ κρυπτόμενον· οὕτως ὁ ἁπλοῦς,
appearing and other the hidden thus the simple(-man)
οὐ διπλοῦς, ἀλλ' ἕν τί ἐστιν· οὐκ ἄλογός τις ὤν,
not double but one something is not irrational some being
καὶ ἄσοφος κατὰ τοὺς ἐν κόσμῳ γηραιούς, οὓς καὶ
and unwise like those in the-world old(-men) whom also
λελῃρηκότας φιλοῦσι καλεῖν· ἀλλ' ἔξωθεν μέν, ἠπίους ὅλους,
having-doted they-love to-call but outwardly indeed gentle wholly
προσηνεῖς, φαιδρούς, ἄπλαστον ἔχοντας, καὶ ἀνεπιτήδευτον,
kindly cheerful unfeigned having and unaffected
καὶ ἀνόθευτον, καὶ τὸν λόγον, καὶ τὸ ἦθος, πρᾶγμα οὐκ
and uncounterfeit both the word and the character a-thing not
ἐν πολλοῖς εὑρισκόμενον· ἔσωθεν δὲ τῇ ψυχῇ τὸν Θεὸν
in many found inwardly but in-the soul — God
αὐτόν, καὶ τὸν προεστῶτα ὡς ἀκέραια νήπια ἀναπνέοντας·
himself and the superior like innocent infants breathing
καὶ ἰταμόν, καὶ στερέμνιον τὸ τοῦ νοὸς ὄμμα πρὸς τοὺς
and bold and hard the of-the mind eye toward the
δαίμονας, καὶ τὰ πάθη κεκτημένους. Ἐπιλείψει με, ὦ
demons and the passions having will-fail me O
ἱερὰ κορυφή, καὶ θεοφιλὴς συνάθροισις, ὁ τῆς ζωῆς μου
holy summit and God-loving gathering the of-the life my

χρόνος, τὴν ἐκείνων τῶν μακαρίων διηγούμενον ἀρετήν,
time the of-those the blessed(-ones) narrating virtue
καὶ οὐρανομίμητον βίωσιν· ἀλλ' ὅμως ἄμεινον ἐκ τῶν
and heaven-imitating way-of-living but nevertheless better from the
ἐκείνοις πεπονημένων ἱδρώτων τὸν ἡμέτερον ἐγκαλλωπῖσαί
by-them labored sweats the our to-adorn
πως ἡμᾶς λόγον, καὶ εἰς ζῆλον θεοφιλῆ διεγεῖραι· ἢ
somehow us discourse and to zeal God-loving to-rouse than
ἐξ οἰκείων παραινέσεων. Χωρὶς γὰρ πάσης ἀντιλογίας
from our-own exhortations without for all dispute
τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος κατακοσμεῖται. Ἐκεῖνο
the lesser by the greater is-adorned that
δὲ ἐρωτῶ, μηδὲν ἡμᾶς πεπλανημένον γράφειν ὑπονοῆσαι·
but I-ask nothing us false to-write to-suspect
ἔθος γὰρ τῇ ἀπιστίᾳ τὴν ὠφέλειαν λυμαίνεσθαι. Πάλιν
custom for for-the unbelief the benefit to-spoil again
δὲ τῶν προειρημένων ἐχώμεθα.
but to-the aforesaid let-us-hold

6 Τὶς ἀνὴρ Ἰσίδωρος τοὔνομα ἐξ ἀρχοντικῆς ἀξίας
a-certain man Isidore by-name of magisterial rank
Ἀλεξάνδρου τῆς πόλεως ἐν τῷ εἰρημένῳ κοινοβίῳ, πρὸ
of-Alexandria the city in the said community before
τούτων τῶν χρόνων ἀπετάξατο, ὃν κἀγὼ ἐκεῖσε ἔτι
these the years renounced whom I-too there still
κατέλαβον. Τοῦτον δεξάμενος ὁ πανόσιος ἐκεῖνος ποιμὴν
found him having-received the all-holy that shepherd
κακεντρεχῆ πάνυ, καὶ ὠμόν, δεινόν τε, καὶ ἀγέρωχον
malicious very and cruel dreadful both and arrogant
θεασάμενος, σοφίζεται ὁ πάνσοφος δαιμόνων πανουργίαν
having-beheld outwits the all-wise(-one) of-demons villainy
δι' ἀνθρωπίνης ἐπινοίας, καί φησι πρὸς τὸν Ἰσίδωρον·
through human contrivance and says to — Isidore

Εἰ ἄρα τὸν τοῦ Χριστοῦ ζυγὸν ἆραι προῄρησας, ὑπακοήν
if then the — of-Christ yoke to-take-up you-have-chosen obedience
σε ἀσκεῖν πρὸ πάντων βούλομαι. Ὁ δέ φησιν· Ὡς σίδηρος
you to-practice before all-things I-wish he and says as iron
χαλκεῖ, οὕτως, ἁγιώτατε, ὑποτάσσεσθαι ἑαυτὸν δέδωκα.
to-(the)-smith thus most-holy(-one) to-be-submitted myself I-have-given
Ὁ δὲ μέγας καὶ ἐπ᾽ αὐτῷ τῷ παραδείγματι θεραπευθείς,
the but great(-one) also by the-very the example healed
δίδωσιν εὐθέως τὸ γυμνάσιον τῷ σιδηρῷ Ἰσιδώρῳ καί
gives at-once the exercise to-the iron Isidore and
φησιν· Βούλομαί σε, ὦ ἀδελφέ, τῇ φύσει, ἐν τῷ πυλῶνι
says I-wish you O brother by-the nature in the gateway
τῆς μονῆς παρίστασθαι· καὶ πάσῃ ψυχῇ εἰσιούσῃ τε,
of-the monastery to-stand and to-every soul entering both
καὶ ἐξιούσῃ ποιεῖν γονυκλισίαν λέγοντα· Εὖξαι ὑπὲρ ἐμοῦ,
and going-out to-make genuflection saying pray for me
πάτερ, ὅτι ἐπιληπτικός εἰμι. Ὑπήκουσε δὲ οὗτος, ὡς
father for epileptic I-am obeyed and he as
ἄγγελος Κυρίῳ. Ἑπταετίαν δὲ αὐτοῦ ἐκεῖσε πεποιηκότος,
an-angel to-(the)-Lord seven-years and he there having-spent
καὶ εἰς βαθυτάτην ταπείνωσιν, καὶ κατάνυξιν ἐληλακότος,
and into deepest humility and compunction having-driven
ἠβουλήθη ὁ ἀοίδιμος μετὰ τὴν νομικὴν ἑπταετίαν,
wished the celebrated(-one) after the legal seven-years
καὶ τὴν τοῦ ἀνδρὸς ἀνείκαστον ὑπομονήν, τοῦτον, ὡς
and the of-the man incomparable endurance him as
ὑπεράξιον, τοῖς ἀδελφοῖς συναριθμῆσαι, καὶ χειροτονίας
more-than-worthy to-the brothers to-number-with and of-ordination
ἀξιῶσαι. Ὁ δὲ πλείστας καὶ δι᾽ ἑτέρων, καὶ δι᾽ ἐμοῦ
to-deem-worthy he but very-many both through others and through me
τοῦ ἀσθενοῦς ἱκεσίας πεποίηκε τῷ ποιμένι, ἐκεῖσε αὐτὸν
the weak entreaties made to-the shepherd there him

ὡσαύτως διάγοντα τελειῶσαι τὸν δρόμον, αἰνιξάμενος, καὶ
likewise living to-finish the course having-hinted also
ἀμυδρῶς πως τῷ λόγῳ τὸ τέλος, καὶ τὴν αὐτοῦ κλῆσιν
dimly somehow in-the word the end and the his call
πλησιάζουσαν, ὅπερ καὶ γέγονεν. Ἐάσαντος γὰρ αὐτὸν
approaching which also happened having-let for him
ἐν τῇ αὐτῇ τάξει τοῦ διδασκάλου, μετὰ δεκάτην ἡμέραν
in the same rank the teacher after tenth day
πρὸς Κύριον δι' ἀδοξίας ἐνδόξως ἐξεδήμησε, τῇ ἑβδόμῃ
to (the)-Lord through inglory gloriously he-departed on-the seventh
ἡμέρᾳ τῆς αὐτοῦ κοιμήσεως, καὶ τὸν θυρωρὸν τῆς μονῆς
day of-the his falling-asleep also the doorkeeper of-the monastery
πρὸς Κύριον προσλαβόμενος. Ἦν γὰρ αὐτῷ εἰρηκὼς ὁ
to (the)-Lord having-taken-along he-had for to-him said the
μακάριος, ὅτιπερ, Ἐὰν τύχω παῤῥησίας πρὸς Κύριον,
blessed(-one) that if I-obtain boldness before (the)-Lord
ἀχώριστός μου γενήσῃ κἀκεῖ διὰ τάχος. Ὅπερ καὶ
inseparable from-me you-will-be there-too through quickness which also
γέγονεν, εἰς μεγίστην πληροφορίαν τῆς ἀκαταισχύντου
happened for greatest assurance of-the unashamed
αὐτοῦ ὑπακοῆς, καὶ ταπεινώσεως θεομιμήτου. Ἠρώτησα
his obedience and humility God-imitating I-asked
ἔτι περιόντα τὸν μέγαν τοῦτον Ἰσίδωρον, ποίαν ἐργασίαν
still living the great this Isidore what work
αὐτοῦ ὁ νοῦς ἐν τῷ πυλῶνι διάγοντος ἐκέκτητο. Καὶ
his the mind in the gateway living had and
οὐκ ἔκρυψεν ὠφελῆσαί με θέλων ὁ ἀείμνηστος. Ἐν
not he-hid to-benefit me wishing the ever-remembered(-one) in
ἀρχαῖς μὲν γὰρ τοῦτο, φησίν, ἐλογιζόμην, ὅτιπερ ὑπὲρ
beginnings indeed for this he-says I-reckoned that for
τῶν ἁμαρτιῶν μου ἐπράθην. Ὅθεν καὶ μετὰ πικρίας
the sins my I-was-sold whence also with bitterness

πάσης, καὶ βίας, καὶ αἵματος τὴν μετάνοιαν ἔβαλλον.
all and violence and blood the penitence I-made
Ἐνιαυτοῦ δὲ πληρωθέντος ἀλύπως λοιπὸν διεκείμην τὴν
a-year and having-been-completed without-grief thereafter I-was-disposed the
καρδίαν, μισθὸν παρ᾽ αὐτοῦ Θεοῦ ὑπομονῆς προσδεχόμενος.
heart reward from the-very God of-endurance expecting
Περαιωθέντος δὲ ἑτέρου ἑνὸς χρόνου, ἀνάξιον ἑαυτὸν
having-passed and another one year unworthy myself
λοιπὸν ἐλογιζόμην σὺν αἰσθήσει καρδίας, καὶ τῆς ἐν
thereafter I-reckoned with perception of-heart both of-the in
τῇ μονῇ διατριβῆς, καὶ τῆς τῶν Πατέρων θέας, καὶ
the monastery stay and of-the of-the Fathers sight and
συντυχίας, καὶ τῆς τῶν μυστηρίων μεταλήψεως, καὶ
meeting and of-the of-the mysteries partaking and
τῆς ἐν προσώπῳ τινὸς θεωρίας. Κάτω δὲ νεύων τῷ
of-the in face anyone's beholding downward and bending with-the
ὄμματι, καὶ κατωτέρῳ φρονήματι τοὺς εἰσιόντας καὶ
eye and with-lower mind those entering and
ἐξιόντας εἰλικρινῶς λοιπὸν ὑπὲρ εὐχῆς ἱκέτευον.
going-out sincerely thereafter for prayer I-begged

At table the shepherd leaves the priest Laurence, eighty years old, standing unfed for an hour or two; Laurence says he stood as before God's altar. The shepherd expels a blameless steward to crown him. Abbacyrus bears being driven from the table for fifteen years and dies thanking his fathers; the deacon Macedonius asks to stay among the beginners for a failing he did not commit; a cellarer who confessed a grave fall is struck lightly and sent back to work. Myrrh flows from Menas' feet after his death. The old men tell John they would rather wrestle with men than demons, and another urges on him the whole life of obedience. Brothers who talked at prayer stand a week before the church, some carry tablets of their thoughts, and the fallen are sent to the Prison, a house a mile off.

7 Ἐν τῇ τραπέζῃ ποτὲ συγκαθημένῳ μοι τῷ μεγάλῳ
at the table once sitting-with me to-the great
ἐπιστάτῃ, πρὸς τὸ ἐμὸν οὖς κεκλικὼς τὸ ἅγιον αὐτοῦ
superior to the my ear having-inclined the holy his
στόμα φησί. Βούλει σοι δείξω ἐν πολιᾷ βαθυτάτῃ
mouth says do-you-wish to-you I-show in gray-hair deepest
θεϊκὸν φρόνημα; Ἐμοῦ δὲ ἱκετεύσαντος, ὁ δίκαιος ἐκ
godly mind I and having-begged the just(-one) from
τῆς δευτέρας τραπέζης Λαυρέντιον τοὔνομα περὶ τὰ
the second table Laurence by-name about the
τεσσαράκοντα ὀκτὼ ἔτη ἐν τῇ μονῇ ἔχοντα, καὶ δεύτερον
forty eight years in the monastery having and second
τοῦ ἱερατείου πρεσβύτερον ὑπάρχοντα. Ἐλθόντα οὖν, καὶ
of-the sanctuary priest being having-come then and
βαλόντα τῷ ἡγουμένῳ γονυκλισίαν, εὐλογεῖται μὲν παρ'
having-made to-the abbot genuflection he-is-blessed indeed by
αὐτοῦ· ἀναστάντι δὲ οὐδὲν τὸ σύνολον εἴρηκεν· ἀλλ' εἴασεν
him having-risen but nothing at all he-said but let
αὐτὸν πρὸ τῆς τραπέζης ἑστῶτα, καὶ μὴ ἐσθίοντα· ἦν δὲ
him before the table standing and not eating it-was and

τοῦ ἀρίστου ἡ εἴσοδος· ὥστε ποιῆσαι περὶ ὥραν μεγάλην,
of-the meal the beginning so-that to-make about an-hour long
ἢ καὶ δύο ἱστάμενον· ὡς ἐμὲ λοιπὸν αἰδεῖσθαι κἂν εἰς
or even two standing so-that me thereafter to-be-ashamed even into
πρόσωπον τοῦ ἐργάτου ἀτενίσαι. Ἦν γὰρ ὁλοπόλιος,
face of-the worker to-look he-was for all-gray
ὀγδοηκοστὸν ἄγων χρόνον. Ἀναποκρίτου τε ἄχρι τῆς
eightieth passing year unanswered and until the
πληρώσεως τῆς ἑστιάσεως μείναντος· ἀναστάντων ἡμῶν
completion of-the feast having-remained having-risen we
πέμπεται ὑπὸ τοῦ ὁσίου εἰπεῖν τῷ προμνημονευθέντι
he-is-sent by the holy(-one) to-say to-the aforementioned
μεγάλῳ Ἰσιδώρῳ τὴν τοῦ τριακοστοῦ ἐννάτου ψαλμοῦ
great Isidore the of-the thirtieth ninth psalm
ἀρχήν. Οὐ παρεῖδον δὲ ἐγὼ ὡς πονηρότατος τὸν γέροντα
beginning not I-neglected and I as most-wicked the old-man
πειρᾶσαι· ἐρωτήσαντος δέ μου αὐτὸν τί ἄρα παριστάμενος
to-test having-asked and I him what then standing-by
τῇ τραπέζῃ ἐλογίζετο· Τοῦ Χριστοῦ, ἔφη, τὴν εἰκόνα τῷ
the table he-thought — of-Christ he-said the image on-the
ποιμένι περιθέμενος, οὐδ' ὅλως ποτὲ ἐξ αὐτοῦ ἐπιτάσσεσθαι
shepherd having-placed not at-all ever from him to-be-commanded
λελόγισμαι, ἀλλ' ἐκ Θεοῦ. Ὅθεν, πάτερ Ἰωάννη, οὐχ
I-have-reckoned but from God whence father John not
ὡς ἐνώπιον τραπέζης ἀνθρώπων, ἀλλ' ὡς ἐνώπιον
as before a-table of-men but as before
θυσιαστηρίου Θεοῦ, καὶ Θεῷ ἱστάμην προσευχόμενος· οὐδ'
an-altar of-God and to-God I-stood praying not
ὅλως ἔννοιάν τινα πρὸς τὸν ποιμένα πονηρὰν λογισάμενος,
at-all thought any toward the shepherd evil having-reckoned
ἐκ τῆς πρὸς αὐτόν μου πίστεως καὶ ἀγάπης. Εἴρηκε γάρ
from the toward him my faith and love said for

τις, ὅτι Ἡ ἀγάπη οὐ λογίζεται τὸ κακόν. Πλὴν κἀκεῖνο
someone that the love not reckons the evil however and-that
γίνωσκε, Πάτερ· ὅτι ἐπάν τις εἰς ἁπλότητα καὶ ἑκουσίαν
know Father that when someone to simplicity and willing
ἀκακίαν ἐκδῷ, οὐκ ἔτι ἐκεῖ ὁ πονηρὸς χώραν ἢ
innocence gives-himself not any-longer there the wicked(-one) room or
ὥραν ἀναλαμβάνει. Κύριος ὁ δίκαιος, οἷος καὶ ἦν ὁ τῶν
hour takes-up (the)-Lord the just such-as also was the of-the
λογικῶν θρεμμάτων σωτὴρ διὰ τοῦ Θεοῦ ἐκεῖνος, τοιοῦτον
rational flocks savior through — God that-one such-a-one
αὐτῷ καὶ οἰκονομοῦντα τὰ τὴν μονὴν ἄλλον πέπομφε·
to-him also administering the-things the monastery another sent
ἦν γὰρ σώφρων εἰ καί τις ἄλλος, πρᾶος, ὡς πάνυ
he-was for temperate if even anyone other meek as very
ὀλίγοι. Τούτῳ πρὸς τὴν τῶν λοιπῶν ὠφέλειαν ἐπηνέχθη
few against-this for the of-the others benefit was-borne
ὁ γέρων ὁ μέγας εἰκῇ ἐπὶ τοῦ Κυριακοῦ διωχθῆναι αὐτὸν
the old-man the great in-vain in the Lord's-house to-be-driven-out him
κελεύσας ἀκαίρως. Ἐγὼ δὲ ἐγνωκὼς ἄμεμπτον αὐτὸν
having-ordered unseasonably I but knowing blameless him
εἶναι ἐφ' ᾧ ἐγκλήματι πρὸς αὐτὸν ἔλεγεν ὁ ποιμήν,
to-be on which charge to him spoke the shepherd
κατ' ἰδίαν ὑπὲρ τοῦ οἰκονόμου ἀπολογίαν ἐποιούμην πρὸς
in private for the steward defense made to
τὸν μέγαν. Ὁ δὲ σοφός φησι· Καί γε (κἀγώ) ἔγνωκα,
the great(-one) the but wise(-one) says and at-least I-too know
πάτερ, ἀλλ' ὥσπερ οὐ δίκαιον, ἀλλ' ἐλεεινὸν ἐκλιμώττοντος
father but just-as not just but pitiable of-a-starving
νηπίου τὸν ἄρτον ἐκ στόματος ἁφαρπάσαι· οὕτως καὶ
child the bread from mouth to-snatch thus also
ἑαυτόν, καὶ τὸν ἐργάτην ὁ ψυχῶν προεστηκώς, μὴ
himself and the worker the(-one) of-souls presiding not

βλάπτει προξενῶν αὐτῷ στεφάνους, ὅσους καὶ γινώσκει
harms providing to-him crowns as-many-as also he-knows
αὐτὸν ὑπομένειν, κατὰ πᾶσαν ὥραν· εἴτε δι᾽ ὕβρεων,
him to-endure at every hour whether through insults
εἴτε δι᾽ ἀτιμιῶν, δι᾽ ἐξουδενώσεως, δι᾽ ἐμπαιγμῶν·
or through dishonors through contempt through mockeries
τρία γὰρ μέγιστα ἀδικεῖται· πρῶτον μὲν στερούμενος
three for greatest-things he-is-wronged first indeed being-deprived
αὐτὸς τοῦ ἐκ τῆς ἐπιτιμήσεως μισθοῦ· δεύτερον δὲ ὅτι
himself of-the from the rebuke reward second and that
καὶ ἄλλους ὠφελεῖν ἐκ τῆς ἑτέρου ἀρετῆς δυνάμενος, οὐκ
also others to-benefit from the of-another virtue being-able not
ἐποίησε· τρίτον, ὃ καὶ βαρύτατον, ὅτι πολλάκις καὶ
he-did third which also heaviest that often also
αὐτοὶ οἱ δοκοῦντες φερέπονοι, καὶ ὑπομονητικοὶ ὑπάρχειν,
themselves those seeming toil-bearing and patient to-be
ἐπὶ χρόνον ἀμεληθέντες, καὶ ὡς δῆθεν ἐνάρετοι, λοιπὸν
for a-time neglected and as supposedly virtuous thereafter
ὑπὸ τοῦ προεστῶτος μὴ ἐλεγχόμενοι, ἢ ὀνειδιζόμενοι, τῆς
by the superior not being-rebuked or reproached of-the
προσούσης αὐτοῖς πραότητος, καὶ ὑπομονῆς ἐστερήθησαν.
present in-them meekness and patience were-deprived
Κἂν γὰρ καλὴ καὶ καρποφόρος καὶ πίων ἐστὶν ἡ γῆ, ἀλλ᾽
even-if for good and fruitful and fat is the earth yet
οἶδεν λεῖψις ὕδατος ἀτιμίας ὑλομανοῦσαν αὐτὴν ποιεῖν,
knows lack of-water of-dishonor overgrown it to-make
καὶ ἀκάνθας τύφου, καὶ πορνείας, καὶ ἀφοβίας ἐν αὐτῇ
and thorns of-conceit and fornication and fearlessness in it
βλαστῆσαι. Τοῦτο γινώσκων ὁ μέγας ἐκεῖνος Ἀπόστολος
to-sprout this knowing the great that Apostle
τῷ Τιμοθέῳ ἐπέστελλεν· Ἐπίστηθι· ἐπενέχθητι· ἐπίπληξον
— to-Timothy wrote stand-by press-on rebuke

αὐτοὺς εὐκαίρως, ἀκαίρως. Ἐμοῦ δὲ πρὸς τὸν ὁδηγὸν
them in-season out-of-season I and toward the guide
ὄντως ἐκεῖνον ἀντιφιλονεικοῦντος, καὶ τὴν ἀσθένειαν τῆς
truly that contending-back and the weakness of-the
καθ' ἡμᾶς γενεᾶς προβαλλομένου, καὶ ὡς πολλοὶ ἴσως ἐκ
in our-time generation putting-forward and how many perhaps from
τῆς εἰκῆ, τάχα δὲ καὶ οὐκ εἰκῆ ἐπιπλήξεως τῆς ποίμνης
the in-vain perhaps and also not in-vain rebuke from-the flock
ἀποῤῥήγνυνται· πάλιν ὁ τῆς σοφίας οἶκος ἔλεγε· Ψυχὴ
break-away again the of-the wisdom house said a-soul
δεθεῖσα διὰ Χριστὸν ἀγάπῃ ποιμένος, καὶ πίστει, μέχρις
bound because-of Christ by-love of-shepherd and faith as-far-as
αἵματος οὐκ ἀφίσταται· μάλιστα εἰ καὶ εὐεργετηθεῖσα ἐπὶ
blood not departs especially if also having-been-benefited on
μώλωψί ποτε τυγχάνει παρ' αὐτοῦ· μνημονεύουσα τοῦ
wounds ever it-happens by him remembering the(-one)
φάσκοντος· Οὔτε Ἄγγελοι, οὔτε Ἀρχαί, οὔτε Δυνάμεις,
saying neither Angels nor Principalities nor Powers
οὔτε τις κτίσις ἑτέρα χωρίσαι ἡμᾶς ἀπὸ τῆς ἀγάπης τοῦ
nor any creature other to-separate us from the love —
Χριστοῦ δεδύνηται. Ἡ δὲ μὴ οὕτως δεθεῖσα, καὶ παγεῖσα,
of-Christ has-been-able the but not thus bound and fixed
καὶ κολληθεῖσα, θαυμάζω, εἰ οὐκ εἰκῆ τὴν ἐν τῷ τόπῳ
and glued I-wonder if not in-vain the in the place
διατριβὴν διαπεραίνει, ἐπιπλάστῳ, καὶ ἠπατημένῃ ὑποταγῇ
stay it-completes with-feigned and deceived submission
συνημμένη· οὐκ ἔψευσται δὲ ἑαυτὸν ἀληθῶς ὁ μέγας·
joined not has-deceived and himself truly the great(-one)
ἀλλὰ καὶ κεκράτηκε, καὶ ὡδήγηκε, καὶ τετελείωκε, καὶ
but also has-held and has-guided and has-perfected and

προσενήνοχε Χριστῷ ἄμωμα θύματα. Ἀκούσωμεν σοφίαν
has-offered to-Christ blameless sacrifices let-us-hear wisdom
Θεοῦ, καὶ θαυμάσωμεν ἐν ὀστρακίνοις σκεύεσιν εὑρημένην.
of-God and let-us-marvel in earthen vessels found
Ἀγάμενος ἐγὼ ἐκεῖσε παρὼν τήν τινων τῶν νεοπαγῶν 8
admiring I there being-present the of-some of-the newly-planted
πίστιν, καὶ ὑπομονήν, καὶ ἀδάμαστον καρτερίαν ἐπὶ ταῖς
faith and endurance and unconquerable steadfastness at the-things
τοῦ προεστῶτος, ἀλλὰ καὶ τῶν λίαν ὑποβεβηκότων· ἠρώτων,
of-the superior but also of-the very subordinate I-asked
οἰκοδομῆς χάριν, τινὰ τῶν ἀδελφῶν πέντε καὶ δέκα ἔτη
of-edification for-the-sake one of-the brothers five and ten years
ἐν τῇ μονῇ ἔχοντα, ὀνόματι Ἀββάκυρον, ὃν καὶ μάλιστα
in the monastery having by-name Abbacyrus whom also especially
ὑπὸ πάντων σχεδὸν ἀδικούμενον, ἔσθ' ὅτε καθ' ἡμέραν,
by all nearly wronged there-is when each day
τῆς τραπέζης ἐκ τῶν ὑπηρετῶν διωκόμενον ἔβλεπον· ἦν
from-the table by the servers driven-out I-saw he-was
γὰρ ἐκ φύσεως μικρὸν πάνυ περὶ τὴν γλῶσσαν ἀκράτητος
for by nature a-little very about the tongue unrestrained
ἀδελφός. Καὶ πρὸς αὐτὸν ἔλεγον· Ἀδελφὲ Ἀββάκυρε, διὰ
brother and to him I-said brother Abbacyrus because-of
τί τῆς τραπέζης καθ' ἡμέραν ἐλαυνόμενόν σε θεωρῶ, καὶ
what from-the table each day driven-out you I-see and
ἄδειπνον πολλάκις κοιμώμενον; Καί φησι· Πίστευσόν μοι,
supperless often sleeping and he-says believe me
πάτερ, ὅτι δοκιμάζουσί με οἱ πατέρες μου, ἐὰν ποιῶ μοναχόν,
father that test me the fathers my if I-make a-monk
ἐπεὶ οὐκ ἐν ἀληθείᾳ τοῦτο ποιοῦσι· κἀγὼ λοιπὸν γινώσκων
since not in truth this they-do and-I thereafter knowing
τὸν σκοπὸν τοῦ μεγάλου, καὶ αὐτῶν, ὑπομένω πάντα
the aim of-the great(-one) and of-them I-endure all-things

ἀβαρῶς. Καὶ ἰδοὺ δεκαπέντε ἔτη ἔχων τοῦτο λογιζόμενος,
without-burden and behold fifteen years having this reckoning
καθώς μοι καὶ αὐτοὶ ἐν τῇ ἐμῇ εἰσόδῳ ἔφησαν· ὅτι
as to-me also they-themselves at the my entry said that
ἄχρι τῆς τριακονταετίας δοκιμάζουσι τοὺς ἀποτασσομένους·
until the thirtieth-year they-test those renouncing
καὶ δικαίως, πάτερ Ἰωάννη· χωρὶς γὰρ δοκιμῆς ὁ χρυσὸς
and rightly father John without for testing the gold
οὐ τελειοῦται. Ἐπιμείνας οὖν ὁ γενναῖος οὗτος Ἀββάκυρος
not is-perfected having-remained then the noble this Abbacyrus
μετὰ τὴν ἐμὴν ἄφιξιν τῷ μοναστηρίῳ διετῆ χρόνον, πρὸς
after the my arrival in-the monastery two-years time to
Κύριον ἀπεδήμησε, τοῦτο εἰπὼν τοῖς πατράσιν ἐν τῷ
(the)-Lord he-departed this having-said to-the fathers at the
μέλλειν ἐκλείπειν· «Εὐχαριστῶ, εὐχαριστῶ τῷ Κυρίῳ, καὶ
being-about to-die I-give-thanks I-give-thanks to-the Lord and
ὑμῖν, ὅτι διὰ τὸ πειράζεσθαι εἰς σωτηρίαν μου ἐξ ὑμῶν,
to-you that because-of the to-be-tried for salvation my by you
ἔμεινα ἐκ δαιμόνων ἀπείραστος ἰδοὺ δεκαεπτὰ ἔτη.» Ὃν
I-remained by demons untried behold seventeen years whom
καὶ ὡς ὁμολογητὴν μετὰ τῶν ἐκεῖσε κατακειμένων ἁγίων
also as confessor with the there lying saints
ἀξίως ὁ δικαιοκριτὴς ποιμὴν κατατεθῆναι ἐκέλευσεν.
worthily the justly-judging shepherd to-be-laid ordered

9 Ἀδικῶ πάντας τοὺς ζηλωτὰς τῶν καλῶν, εἴπερ σιωπῆς
I-wrong all the zealots of-the good-things if-indeed of-silence
μνήματι θάψω τὸ Μακεδονίου τοῦ πρώτου τῶν ἐκεῖσε
in-a-tomb I-bury the of-Macedonius of-the first of-the there
διακόνων κατόρθωμα καὶ ἆθλον· οὗτος ὁ μεμελημένος
deacons achievement and contest this the(-one) cared-for
Κυρίῳ ποτὲ τῆς τῶν ἁγίων Θεοφανίων ἑορτῆς
by-(the)-Lord once of-the of-the holy Theophany feast

καταλαβούσης, λιπαρεῖ τὸν ποιμένα, πρὸ δύο ἡμερῶν ἐν
approaching entreats the shepherd before two days in
τῇ πόλει Ἀλεξανδρείᾳ εἰσελθεῖν οἰκείας χρείας χάριν τινός,
the city Alexandria to-go of-own need for-the-sake some
ὑποσχόμενος μέντοι θᾶττον ἐξέρχεσθαι τῆς πόλεως, διὰ
having-promised however more-quickly to-come-out of-the city because-of
τὴν τῆς ἑορτῆς ἀκολουθίαν τε καὶ ἑτοιμασίαν. Ὁ οὖν
the of-the feast order both and preparation the then
μισόκαλος διάβολος ἐμπόδιον πεποιηκὼς τῷ ἀρχιδιακόνῳ
hater-of-good devil a-hindrance having-made to-the archdeacon
πεποίηκεν αὐτὸν ἀπολυθέντα τοῦ ἡγουμένου, μὴ καταλαβεῖν
made him released by-the abbot not to-arrive-for
τῇ ἁγίᾳ ἑορτῇ ἐν τῇ μονῇ κατὰ τὸν ὅρον, ὃν
the holy feast in the monastery according-to the limit which
ἦν ἐκ τοῦ προεστῶτος κομισάμενος. Μεθ᾽ ἡμέραν οὖν
he-had from the superior received after a-day then
καταλαβόντα, ἀφορίζει ὁ ποιμὴν τῆς διακονίας, καὶ ἐν
having-arrived excludes the shepherd from-the service and in
τῷ ἐσχάτων ἀρχαρίων κατατάττει χώρᾳ· δέχεται ὁ καλὸς
the of-the-last beginners puts place receives the good
τῆς ὑπομονῆς διάκονος καὶ τῆς καρτερίας ἀρχιδιάκονος,
of-the endurance deacon and of-the steadfastness archdeacon
τὸν τοῦ Πατρὸς ὅρον, καὶ ἀλύπως οὕτως, ὡς ἑτέρου
the of-the Father sentence and without-grief thus as another
ἐπιτιμηθέντος, καὶ οὐκ αὐτοῦ· πεποιηκότα τοίνυν αὐτὸν
having-been-sentenced and not himself having-spent therefore him
ἐν τῇ τοιαύτῃ τάξει τεσσαράκοντα ἡμέρας, πάλιν ἐπὶ τὸν
in the such rank forty days again to the
ἴδιον βαθμὸν ἀνήγαγε ὁ σοφός· καὶ δὴ μετὰ μίαν ἡμέραν
own step led-up the wise(-one) and indeed after one day
δυσωπεῖται ὑπὸ τοῦ ἀρχιδιακόνου πάλιν ἐν τῇ ἐπιτιμίᾳ,
is-besought by the archdeacon again in the penance

καὶ τῇ πρώην ἀτιμίᾳ καταστῆναι, φήσας αὐτῷ, ὅτι περὶ
and the former dishonor to-be-placed having-said to-him that about
ἀσυγχώρητόν τι ἐν τῇ πόλει ἔπταισα. Γνοὺς δὲ ὁ
unpardonable something in the city I-failed having-known but the
ὅσιος ἀληθῆ μὴ λέγειν αὐτῷ, ἀλλὰ ταπεινώσεως χάριν
holy(-one) true-things not to-say to-him but of-humility for-the-sake
τοῦτο ἐπιζητεῖν, εἶξε τῇ καλῇ ἐπιθυμίᾳ τοῦ ἐργάτου·
this to-seek yielded to-the good desire of-the worker
καὶ ἦν ἰδεῖν πολιὰν αἰδέσιμον ἐν τῇ ἀρχαϊκῇ
and it-was-possible to-see gray-hair venerable in the beginners'
διάγουσαν τάξει· καὶ πάντας δυσωποῦσαν εἰλικρινῶς ὑπὲρ
living rank and all beseeching sincerely for
αὐτοῦ εὔχεσθαι. Ἐπειδή, φησίν, εἰς πορνείαν παρακοῆς
him to-pray since he-says into fornication of-disobedience
πέπτωκα, ἐμοὶ δὲ τῷ ταπεινῷ τεθάῤῥηκεν ὁ μέγας οὗτος
I-have-fallen to-me and to-the lowly(-one) confided the great this
Μακεδόνιος, τίνος χάριν τῇ τοιαύτῃ τεταπεινωμένῃ
Macedonius of-what for-the-sake to-the such humbled
διαγωγῇ ἑκουσίως προσέδραμεν· οὐδέποτε γὰρ κουφισμὸν
living willingly he-had-run never for relief
οὕτως πολέμου παντός, καὶ φωτὸς θείου γλυκασμὸν ἐν
thus of-war all and of-light divine sweetness in
ἑαυτῷ ὡς νῦν τεθέαμαι. Ἀγγέλων, φησί, τὸ μὴ πίπτειν,
myself as now I-have-beheld of-angels he-says the not to-fall
ἴσως καὶ μὴ δυναμένων, ὥς φασί τινες· ἀνθρώπων δὲ τὸ
perhaps also not being-able as say some of-men and the
πίπτειν, καὶ θᾶττον ἀνίστασθαι· ὁσάκις τοῦτο καὶ συμβαίη·
to-fall and quickly to-rise as-often-as this also may-happen
δαιμόνων δὲ καὶ μόνον, τὸ πεσόντας μὴ ἐγείρεσθαι.
of-demons and also only the having-fallen not to-rise

Ὁ τὴν διακονίαν τῆς μονῆς πεπιστευμένος τεθάῤῥηκε· 10
the(-one) the service of-the monastery entrusted-with confided
Νέου μου ὄντος, φησί, καὶ ἐν τῇ τῶν ἀλόγων φροντίδι
young me being he-says and in the of-the beasts care
διάγοντος, συνέβη πτῶμα κατενεχθῆναι βαρύτατον ψυχῆς·
living it-happened a-fall to-be-brought-down heaviest of-soul
ἐμοῦ δὲ σεσυνηθηκότος μηδέποτε κρύπτειν ὄφιν ἐν
I but having-been-accustomed never to-hide a-serpent in
φωλεῷ καρδίας, τῷ ἰατρῷ τοῦτον τῆς κέρκου κρατήσας
a-den of-heart to-the physician it by-the tail having-seized
ἐστηλίτευσα· κέρκον δὲ λέγω τὸ τέλος τῆς πράξεως· ὁ δὲ
exposed tail and I-mean the end of-the deed he but
μειδιῶν τῷ προσώπῳ φησὶν πρός με· Παίσας μου τὴν
smiling with-the face says to me having-struck my the
σιαγόνα μετρίως, ἄπιθι, τέκνον, ἔχου τῆς διακονίας σου, ὡς
cheek moderately go-away child hold-to the service your as
τὸ πρίν, μηδὲν τὸ παράπαν δεδιώς. Ἐγὼ δὲ πίστει διαπύρῳ
the before nothing the at-all fearing I but by-faith fiery
πεισθεὶς ἐν βραχείαις ἡμέραις τῆς ἰάσεως πληροφορίαν
persuaded in short days of-the healing assurance
εἰληφώς, ἔτρεχον τὴν ὁδόν μου χαίρων ἅμα καὶ τρέμων.
having-received ran the way my rejoicing at-once and trembling
Κέκτηται πᾶσα τάξις κτιστῶν, ὥς φασί τινες, διαφορὰς 11
possesses every order of-creatures as say some differences
διαφερόντων. Ἐπεὶ οὖν ἦσαν καὶ παρὰ τῇ συνόδῳ τῶν
of-things-differing since then there-were also in the gathering of-the
ἀδελφῶν προκοπῶν καὶ γνωμῶν διαφοραί· ἐπάν τινας
brothers of-advances and of-dispositions differences whenever some
τούτων ὁ ἰατρὸς φιλενδείκτας ἐπὶ ταῖς τῶν κατὰ
of-them the physician show-loving at the of-those according-to
κόσμον ἐν τῇ μονῇ ἐπιδημίαις ἐσημειοῦτο, καὶ τούτους
the-world in the monastery visits marked also them

ἐπὶ τούτων ἐσχάταις ὕβρεσι, καὶ διακονίαις ἀτιμοτέραις
at these with-(the)-last insults and services more-dishonorable
περιέβαλλεν· ὥστε λοιπὸν δρομαίως ὑποχωρεῖν, ἡνίκα
he-clothed so-that thereafter at-a-run to-withdraw when
δ' ἄν τινων τῶν κατὰ κόσμον ἐπιδημίαν ἔβλεπον·
and — some of-those according-to the-world visit they-saw
καὶ ἦν ἰδέσθαι ὑπερφυὲς τὸ γινόμενον, αὐτὴν τὴν
and it-was-possible to-see extraordinary the thing-happening the-very the
κενοδοξίαν ἑαυτὴν ἐκδιώκουσαν, καὶ τῶν ἀνθρώπων
vainglory itself chasing-away and from-the men
ἀποκρύπτουσαν. Μὴ στερῆσαί με Κύριος ὁσίου Πατρὸς
hiding not to-deprive me (the)-Lord of-holy Father's
εὐχῆς βουλόμενος, πρὸ μιᾶς ἑβδομάδος τῆς ἐμῆς τοῦ
prayer wishing before one week of-the my of-the
ὁσίου τόπου ἐξελεύσεως, προσελάβετο τὸν τὰ δεύτερα
holy place departure took-to-himself the(-one) the second-place
τοῦ ποιμένος διέποντα, ἄνδρα θαυμαστόν, Μηνᾶν τοὔνομα,
of-the shepherd administering a-man wonderful Menas by-name
πεντήκοντα ἐννέα ἔτη ἔχοντα ἐν τῷ κοινοβίῳ, λοιπὸν
fifty nine years having in the community thereafter
διακονήσαντα πᾶσαν διακονίαν. Τῇ οὖν ἡμέρᾳ τῇ τρίτῃ,
having-served every service on-the then day the third
ἡμῶν τὸν συνήθη κανόνα τῆς τοῦ ὁσίου κοιμήσεως
we the customary canon of-the of-the holy(-one) falling-asleep
ἐπιτελούντων, ἐξαίφνης εὐωδιάζεται ὅλος ὁ χῶρος, ἐν
performing suddenly is-filled-with-fragrance whole the place in
ᾧ ὁ ὅσιος κατέκειτο. Ἐπέτρεψεν οὖν ὁ μέγας τήν,
which the holy(-one) lay permitted then the great(-one) the
ἐν ᾗ κατετέθη, θήκην ὁ ὅσιος ἀποσκεπάσαι ἡμᾶς· καὶ
in which was-laid tomb the holy(-one) to-uncover us and
τούτου γενομένου, ὁρῶμεν πάντες ἐκ τῶν αὐτοῦ τιμίων

πελμάτων δίκην δύο πηγῶν τὴν τοῦ μύρου εὐωδίαν
soles like two springs the of-the myrrh fragrance
ἐκπορευομένων. Τότε, φησὶν ὁ διδάσκαλος πρὸς πάντας,
going-forth then says the teacher to all
ὁρᾶτε; ἰδοὺ οἱ τῶν πόνων αὐτοῦ, καὶ κόπων ἱδρῶτες μύρον
do-you-see behold the of-the labors his and toils sweats as-myrrh
Θεῷ προσηνέχθησαν. Καὶ ἀληθῶς. Καὶ ἄλλα τε πλεῖστα
to-God were-offered and truly and other-things and very-many
ἡμῖν περὶ αὐτοῦ τοῦ πανοσίου Μηνᾶ, οἱ τοῦ τόπου πατέρες
to-us about the-very the all-holy Menas the of-the place fathers
κατορθώματα ἀπήγγειλαν, ἐν οἷς καὶ τοῦτο ἔλεγον. Ὅτι
achievements reported among which also this they-said that
φασί ποτε ὁ προεστὼς τὴν αὐτοῦ θεοδώρητον ὑπομονὴν
they-say once the superior the his God-given endurance
δοκιμάσαι βουλόμενος, ἀνελθόντα αὐτὸν ἐν τῷ ἡγουμενείῳ,
to-test wishing having-gone-up him to the abbot's-lodging
καὶ βαλόντα μετάνοιαν ἑσπέρας τῷ ἡγουμένῳ, παράθεσίν
and having-made penitence in-the-evening to-the abbot a-blessing
τε λαβεῖν συνήθως ἱκετεύοντα, εἴασεν αὐτὸν οὕτως
and to-receive customarily begging let him thus
χαμαὶ κείμενον ἄχρι τοῦ κανόνος ὥρας· τότε λοιπὸν
on-the-ground lying until the of-the-canon hour then thereafter
αὐτὸν εὐλογήσας, καὶ λοιδορήσας ὡς φιλενδείκτην καὶ
him having-blessed and having-reviled as show-loving and
ἀνυπομόνητον ἀνέστησεν. Ἐγίνωσκε γὰρ ὁ ὅσιος, ὅτι
impatient raised-up he-knew for the holy(-one) that
ὑποφέρει γενναίως· διὸ καὶ τὸ δρᾶμα πρὸς οἰκοδομὴν πᾶσι
he-endures nobly therefore also the drama for edification for-all
πεποίηκεν. Ὁ δὲ τούτου ἡμᾶς τοῦ ὁσίου Μηνᾶ μαθητὴς
made the and of-this us of-the holy Menas disciple
ἐπληροφόρει ἡμᾶς τὰ κατὰ τὸν ἐπιστάτην. Διὸ καί,
assured us the-things concerning the superior therefore also

φησίν, ἐμοῦ πολυπραγμονήσαντος αὐτόν, εἰ ἄρα ἐν τῇ
he-says I having-inquired-of him if then in the
τοιαύτῃ πρὸς τὸν ἡγούμενον γονυκλισίᾳ ὕπνῳ κατηνέχθη,
such to the abbot genuflection by-sleep he-was-overcome
ἐπληροφόρει, φησίν, ὡς ἅπαν τὸ Ψαλτήριον χαμαὶ
he-assured he-says that all the Psalter on-the-ground
κείμενον ἀποστηθίσαι. Οὐ παρίδω ἐγὼ ἐγκαλλωπίσαι τὸν
lying he-recited-by-heart not may-I-neglect I to-adorn the
τοῦ λόγου στέφανον καὶ τῷ παρόντι σμαράγδῳ.
of-the discourse crown also with-the present emerald

12 Κεκίνηκά ποτε περὶ ἡσυχίας λόγον τισὶ τῶν ἀνδρειοτάτων
I-raised once about stillness discussion with-some of-the bravest
γερόντων ἐκείνων· οἱ δὲ μειδιῶντι τῷ προσώπῳ, καὶ
old-men those they but with-smiling the face and
ἱλαρῷ ἤθει ἀστείως φασὶ πρός με· Ἡμεῖς, ὦ πάτερ
cheerful manner urbanely say to me we O father
Ἰωάννη, ὑλικοὶ ὄντες ὑλικωτέραν καὶ ἀγωγὴν μετερχόμεθα·
John material being more-material also course pursue
ἐκεῖνο προκρίναντες, κατὰ τὸ μέτρον τῆς ἑαυτῶν
that having-preferred according-to the measure of-the our-own
ἀσθενείας καὶ τὸν πόλεμον ὑπελθεῖν· ἄμεινον λογισάμενοι
weakness also the war to-undergo better having-reckoned
ἀνθρώποις παλαίειν, τοῖς ποτε μὲν ἠγριωμένοις, ποτὲ
with-men to-wrestle who sometimes indeed are-savage sometimes
δὲ μετανοοῦσι, καὶ μὴ δαίμοσι διὰ παντὸς πρὸς ἡμᾶς
and repent and not with-demons through all(-time) against us
μαινομένοις καὶ ὁπλιζομένοις. Ἕτερος δὲ αὖθις τῶν
raging and arming-themselves another but again of-the
ἀειμνήστων, πολλὴν πρός με τὴν κατὰ Θεὸν ἀγάπην
ever-remembered much toward me the according-to God love
καὶ παῤῥησίαν κεκτημένος, φησί μοι μετ᾽ εὐμενείας· Εἰ
and boldness having says to-me with kindness if

ἄρα σοι πρόσεστι, πάνσοφε, ἡ τοῦ εἰπόντος ἐν
then to-you is-present all-wise(-one) the of-the(-one) having-said in
αἰσθήσει ψυχῆς ἐνέργεια, ὅτι Πάντα ἰσχύω ἐν τῷ
perception of-soul working that all-things I-am-strong-for in the
ἐνδυναμοῦντί με Χριστῷ· εἰ Πνεῦμα ἅγιον δρόσου ἁγνείας
strengthening me Christ if Spirit holy of-dew of-purity
κατὰ τὴν Παρθένον ἐπῆλθεν ἐπί σε· εἰ δύναμις Ὑψίστου
like the Virgin has-come upon you if power of-(the)-Most-High
ὑπομονῆς ἐπεσκίασέ σοι· ζῶσαι ὥσπερ ἀνὴρ (Χριστὸς
of-endurance has-overshadowed you gird as a-man Christ
ὁ Θεός) τὴν ὀσφύν σου λεντίῳ ὑπακοῆς, καὶ ἀναστὰς
— God the loins your with-a-towel of-obedience and having-risen
ἐκ τοῦ δείπνου τῆς ἡσυχίας νίψον πόδας ἀδελφῶν
from the supper of-the stillness wash feet of-brothers
ἐν συντετριμμένῳ πνεύματι. Μᾶλλον δὲ κυλίου ὑπὸ
in contrite spirit rather but roll under
πόδας συνοδίας ἐν καταβεβλημένῳ φρονήματι. Στῆσον
feet of-(the)-company in cast-down mind set
πυλωροὺς ἀποτόμους, καὶ ἀΰπνους ἐν πύλῃ καρδίας
doorkeepers severe and sleepless at (the)-gate of-heart
σου· κράτει νοῦν ἀκράτητον ἐν περισπωμένῳ σώματι·
your master mind unmastered in distracted body
ἄσκει νοερὰν ἡσυχίαν ἐν κινουμένοις καὶ σαλευομένοις
practice spiritual stillness in moving and tossed
μέλεσι. Τὸ πάντων παραδοξότατον, γίνου ἀπτόητος
limbs the of-all most-marvelous-thing be undismayed
ψυχῇ μεταξὺ τῶν θορύβων· ἄγχε γλῶτταν προπηδᾷν
in-soul amid the tumults choke the-tongue to-leap-forth
ἐν ἀντιλογίαις μαινομένην· πάλαιε τῇ δεσποίνῃ ταύτῃ
in disputes raging wrestle with-the mistress this
ἑβδομηκοντάκις ἑπτὰ τῆς ἡμέρας· πῆξον ἐν ξύλῳ ψυχῆς
seventy-times seven of-the day fix on wood of-soul

σταυρῷ νοῦν ἄκμονα δι᾽ ἀλλεπαλλήλων σφυρῶν
on-a-cross mind an-anvil through successive hammers
καὶ κτύπων τυπτόμενον, ἐμπαιζόμενον, λοιδορούμενον,
and blows struck mocked reviled
χλευαζόμενον, ἀδικούμενον, καὶ μηδαμῶς ἐκλυόμενον,
ridiculed wronged and in-no-way weakened
μηδὲ θραῦσιν ὑπομένοντα· ἀλλ᾽ ὅλον λεῖον καὶ ἀκίνητον
nor breaking enduring but wholly smooth and unmoved
ὑπάρχοντα. Ἀπόδυσαι θέλημα ὡς αἰσχύνης περιβολήν, καὶ
being strip-off will as of-shame garment and
γυμνὸς τούτου ἐν τῷ σκάμματι εἴσελθε. Τὸ σπάνιον, καὶ
naked of-it in the arena enter the rare and
δυσεύρετον ἔνδυσαι πίστεως θώρακα, ὑπὸ ἀπιστίας πρὸς
hard-to-find put-on of-faith breastplate by distrust toward
τὸν ἀγωνοθέτην μὴ διαλυόμενον, μηδὲ τιτρωσκόμενον
the judge-of-the-contest not dissolved nor wounded
κράτει χαλινῷ σωφροσύνης ἁφὴν ἀναιδῶς προπηδῶσαν·
master with-bridle of-temperance touch shamelessly leaping-forth
ἄγχε ὀφθαλμὸν μελέτῃ θανάτου, μεγέθη καὶ ὥραν
choke (the)-eye with-meditation of-death sizes and beauty
σωμάτων περιεργάζεσθαι καθ᾽ ὥραν βουλόμενον· φίμου
of-bodies to-scrutinize every hour wishing muzzle
νοῦν περίεργον ἐν οἰκείᾳ μερίμνῃ τὸν ἀδελφὸν κατακρίνειν
mind curious in own care the brother to-condemn
ἐν ἀμελείᾳ βουλόμενον εἴργων· καὶ πᾶσαν ἀγάπην, καὶ
in negligence wishing restraining and all love and
συμπάθειαν πρὸς τὸν πλησίον ἀπλανῶς ἐμφανίζοντα.
sympathy toward the neighbor unerringly showing
Γνώσονται πάντες ἀληθῶς ἐν τούτῳ, ὦ προσφιλέστατε
will-know all truly in this O most-beloved
πάτερ, ὅτι Χριστοῦ μαθητὴς ὑπάρχεις τότε, ἐὰν ἐν συνοδίᾳ
father that of-Christ disciple you-are then if in company

ἀγάπην ἔχωμεν ἐν ἀλλήλοις. Δεῦρο, δεῦρο, πάλιν ἔλεγεν
love we-have among one-another come come again said
ὁ καλὸς φίλος, δεῦρο, συναυλίσθητι. Πίε μυκτηρισμὸν
the good friend come dwell-together drink mockery
καθ' ὥραν, ὥσπερ ὕδωρ ζῶν, ἐπειδὴ πάντα τὰ τερπνὰ
every hour like water living since all the delightful-things
ὑπὸ τὸν οὐρανὸν ὁ Δαβὶδ ἐξερευνήσας, ἔσχατον πάντων
under the heaven — David having-searched-out last of-all
διαπορῶν ἔλεγεν. Ἰδοὺ δὴ τί καλόν, καὶ τί τερπνόν;
being-at-a-loss said behold indeed what good and what delightful
οὐδὲν ἄλλο ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό.
nothing other than the to-dwell brothers in the same
Εἰ δὲ οὔπω τοῦ ἀγαθοῦ τῆς τοιαύτης ὑπομονῆς καὶ
if but not-yet of-the good of-the such endurance and
ὑπακοῆς ἠξιώθημεν, καλὸν λοιπὸν κἂν τὴν οἰκείαν
obedience we-were-deemed-worthy good thereafter at-least the own
ἀσθένειαν ἐπεγνωκότας, κατὰ μόνας πόῤῥω τοῦ ἀθλητικοῦ
weakness having-recognized in private far the athletic
σταδίου ἱσταμένους τοὺς ἀθλοῦντας μακαρίζειν, καὶ τούτοις
stadium standing those contending to-call-blessed and for-them
ὑπομονὴν εὔχεσθαι. Ἡττήθην ἐγὼ καλῷ πατρί, καὶ
endurance to-pray I-was-defeated I by-a-good father and
διδασκάλῳ ἀρίστῳ εὐαγγελικῶς ἡμῖν καὶ προφητικῶς
teacher best evangelically to-us and prophetically
μαχησαμένῳ· μᾶλλον δὲ φιλικῶς, καὶ τὰ πρεσβεῖα τῇ
having-fought rather but friendly and the prize to-the
μακαρίᾳ ὑπακοῇ δοῦναι ἀναμφιβόλως τεθελήκαμεν. Μιᾶς δὲ
blessed obedience to-give undoubtingly we-have-willed one but
ἔτι ὀνησιφόρου τῶν μακαρίων τούτων ἀρετῆς ἐπιμνησθείς,
still profitable of-the blessed these virtue having-remembered

ὥσπερ ἐκ παραδείσου ἐξιών, πάλιν τὰ ἀκαλλῆ, καὶ
as from paradise going-out again the unlovely and
ἀνησιφόρα ὑμῖν ἀκανθολογήματα παραθήσομαι.
unprofitable to-you thorn-gatherings I-will-set-before

13 Ἐν τῇ εὐχῇ πολλάκις ἡμῶν παρισταμένων, συντυχίας τινὰς
at the prayer often we standing conversations some
ποιήσαντας ἐσημειώσατο ὁ μακάριος ποιμήν· οὓς ἐπὶ
having-made marked the blessed shepherd whom for
ἑβδοματιαῖον χρόνον πρὸ τῆς ἐκκλησίας στήσας, πᾶσι
a-week's time before the church having-stationed to-all
μετάνοιαν ποιεῖν παρεκέλευσε· τοῖς εἰσιοῦσί τε καὶ ἐξιοῦσι·
penitence to-make he-ordered to-those entering both and going-out
καὶ τὸ δὴ θαυμαστότερον, καίτοιγε κληρικοὺς ὑπάρχοντας
and the indeed more-wonderful although clergy being
τοῦτ' ἔστι πρεσβυτέρους. Τινὰ τῶν ἀδελφῶν ὁρῶν σὺν
that is priests one-of-the brothers seeing with
αἰσθήσει καρδίας πλέω τῶν πολλῶν ἐν τῇ ψαλμῳδίᾳ
perception of-heart more than-the many in the psalmody
περιστάμενον· καὶ μάλιστα ἐν τῇ πρωτολογίᾳ τῶν ὕμνων
standing and especially at the opening of-the hymns
πρός τινας τοῖς ἑαυτοῦ ἤθεσι, καὶ τῷ προσώπῳ
to some with-the his-own manners and with-the face
διαλεγόμενον, ἠρώτων τοῦ ἤθους τοῦ μακαρίου τὴν ἔννοιαν
conversing I-asked of-the manner of-the blessed(-one) the meaning
μαθεῖν. Ὁ δὲ γνοὺς ἵνα μὴ κρύπτειν ὠφελῆσαι, φησί·
to-learn he but having-known so-that not to-hide to-benefit says
Τοὺς λογισμούς μου, πάτερ Ἰωάννη, καὶ τὸν νοῦν σὺν τῇ
the thoughts my father John and the mind with the
ψυχῇ εἴωθα ἐκ προοιμίων ἐπισυνάγειν, καὶ συγκαλῶν
soul I-am-accustomed from (the)-beginnings to-gather and calling-together
κράζειν τούτοις· Δεῦτε, προσκυνήσωμεν, καὶ προσπέσωμεν
to-cry to-them come let-us-worship and let-us-fall-down-before

αὐτῷ Χριστῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν. Τὸν δὲ ἑστιάτορα
him Christ king and God our the and refectorian
τοῦτο ποιοῦντα κατέλαβον πολυπραγμονήσας· μικρὸν γὰρ
this doing I-found having-inquired small for
πτύχιον ἐν τῇ ζώνῃ κρεμάμενον ἔχοντα ὁρῶν, ἔμαθον ὡς
tablet in the belt hanging having seeing I-learned that
τοὺς ἑαυτοῦ καθ' ἡμέραν σημειούμενος λογισμούς, τούτους
the his-own each day noting thoughts these
πάντας τῷ ποιμένι ἐξαγγέλλει. Οὐ μόνον δέ, ἀλλὰ καὶ
all to-the shepherd he-reports not only and but also
ἑτέρους πλείστους τῶν αὐτόθι τοῦτο ποιοῦντας ἐθεώμην·
others very-many of-those there this doing I-beheld
ἦν δὲ καὶ αὕτη ἐντολὴ τοῦ μεγάλου ὡς ἀκήκοα.
it-was and also this a-commandment of-the great(-one) as I-have-heard
Ἐδιώχθη τις παρ' αὐτοῦ ποτε τῶν ἀδελφῶν τὸν
was-driven-out someone by him once of-the brothers the
πλησίον πρὸς αὐτὸν διαβαλὼν ὡς φλύαρον καὶ λάλον. Ὁ
neighbor to him having-slandered as babbler and chatterer he
δὲ προσεκαρτέρησε τῷ πυλῶνι τῆς μονῆς ἑβδοματιαῖον
but persevered at-the gateway of-the monastery a-week's
χρόνον δυσωπῶν εἰσόδου, καὶ συγχωρήσεως τυχεῖν· ὡς δὲ
time beseeching entry and pardon to-obtain as and
τοῦτο ἔμαθεν ὁ φιλόψυχος, περιεργασάμενος αὐτόν, μηδὲν
this learned the soul-loving(-one) having-inquired him nothing
βεβρωκέναι ἐν ταῖς ἓξ ἡμέραις τὸ παράπαν, δηλοῖ αὐτῷ.
to-have-eaten in the six days the at-all shows to-him
Εἰ ὅλως ἐν τῇ μονῇ τὴν οἴκησιν ποιήσασθαι βούλει, ἐν τῇ
if at-all in the monastery the dwelling to-make you-wish in the
τῶν μετανοούντων τάξει σε κατάξω. Ὡς δὲ ἀσμένως τοῦτο
of-the repenting rank you I-will-put as and gladly this
ἐδέξατο μετανοῶν, ἐκέλευσεν αὐτὸν ὁ ποιμὴν ἐν τῇ μονῇ
he-received repenting ordered him the shepherd in the monastery

τῇ ἰδιαζούσῃ τῶν ἐπὶ πτώμασι πενθούντων ἐπενεχθῆναι,
the separate of-those for falls mourning to-be-brought
ὅπερ καὶ γέγονεν. Ἐπεὶ δὲ τῆς εἰρημένης ἐμνήσθημεν
which also happened since and the said we-have-mentioned
μονῆς, διὰ βραχέων περὶ αὐτῆς εἴπωμεν. Τόπος μὲν
monastery through brief-words about it let-us-speak a-place indeed
ἦν ἀπὸ σημείου ἑνὸς τῆς μεγάλης μονῆς, φυλακὴ
there-was from mile one of-the great monastery prison
λεγομένη, ἀπαράκλητος· οὐκ ἦν ἐκεῖσε πώποτε καπνὸν
called without-consolation not it-was there ever smoke
ὀφθῆναι, οὐκ οἶνον, οὐκ ἔλαιον εἰς βρῶσιν, οὐχ ἕτερόν
to-be-seen not wine not oil for food not other
τι ἄλλο, ἢ ἄρτον, καὶ λεπτὰ λάχανα. Ἐν τούτῳ τοὺς
anything else than bread and thin vegetables in this those
μετὰ τὴν κλῆσιν συμποδιζομένους ἀπροΐτους κατέκλειεν· οὐχ
after the calling being-fettered not-going-out be-shut-in not
ἅμα, ἀλλ᾽ ἰδίᾳ, καὶ χωρίς, ἢ καὶ δύο τὸ πολύ, ἕως οὗ
together but privately and apart or also two at-the most until —
ὁ κύριος αὐτὸν περὶ ἑκάστου ἐπληροφόρει· κατέστησε δὲ
the lord him about each assured he-appointed and
αὐτοῖς, καὶ τοποποιὸν μέγαν Ἰσαὰκ ὀνόματι, ὃς ἀπῄτει τὴν
for-them also a-superintendent great Isaac by-name who required the
προσευχὴν ἀδιάλειπτον σχεδὸν τοὺς αὐτῷ παραδιδομένους·
prayer unceasing nearly of-those to-him delivered
εἶχον δὲ καὶ θαλλοὺς πλείστους εἰς ἀκηδίας ἐμπόδιον.
they-had and also palm-shoots very-many for of-listlessness hindrance

"This is the life of those who seek the face of the God of Jacob": to admire the saints is good, to emulate them saving, but to copy their whole way of life at once impossible. Confession is a bridle, and one who hides his serpent still wanders; the obedient man credits even his miracles to his father's prayer, and must confess his faults as his own, not as another's. The demons praise stillness to the obedient before their time, and they put out from harbor and founder without a helmsman; they must not leave a physician who has begun the cure. In a community the monk must not show off his zeal or despise his brothers, nor boast when the brotherhood rests on him, since the thieves are all around; he must call himself an unprofitable servant. A community is an earthly heaven; let him, once he has tested it, sell himself to it for the gold of humility and make the place his tomb before the tomb.

14

Οὗτος ὁ βίος, αὕτη ἡ κατάστασις· αὕτη ἡ διαγωγὴ
this the life this the state this the conduct
τῶν ὄντως ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ· τὸ
of-those truly seeking the face — of-God of-Jacob the
μὲν θαυμάζειν τοὺς ἁγίων πόνους καλόν· τὸ δὲ ζηλοῦν
indeed to-admire the of-saints labors good the and to-emulate
σωτηρίας πρόξενον· τὸ δὲ ὑφ' ἓν τὴν ἐκείνων μιμεῖσθαι
of-salvation cause the and at once the their to-imitate
θέλειν πολιτείαν, ἄλογον καὶ ἀμήχανον. Δακνόμενοι μὲν ἐπὶ
to-wish way-of-life irrational and impossible being-stung indeed at
τοῖς ἐλέγχοις τῶν ἡμετέρων ἁμαρτημάτων μνημονεύσωμεν,
the rebukes of-the our sins let-us-remember
ἄχρις οὗ ὁ Κύριος τὴν βίαν ἡμῶν τῶν βιαστῶν αὐτοῦ
until — the Lord the force our of-the violent(-ones) his
ὁρῶν ταύτας ἐξαλείψει, καὶ τὴν δάκνουσαν ἡμᾶς ἐν τῇ
seeing these will-blot-out and the stinging us in the
καρδίᾳ ὀδύνην εἰς χαρὰν μεταποιήσει. Κατὰ γὰρ τὸ
heart pain into joy will-change according-to for the

πλῆθος τῶν ὀδυνῶν μου, ἐν τῇ καρδίᾳ μου, φησὶν (κατὰ
multitude of-the pains my in the heart my he-says by
τοσοῦτον), αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου.
so-much the consolations your gladdened the soul my
Ἐν τῷ ἰδίῳ καιρῷ μὴ ἐπιλαθώμεθα τοῦ λέγοντος πρὸς
in the own time not let-us-forget the(-one) saying to
Κύριον· Ὅσας ἔδειξάς μοι θλίψεις πολλάς, καὶ κακάς, καὶ
(the)-Lord how-many you-showed me afflictions many and evil and
ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς
having-turned you-made-alive me and from the abysses of-the earth
μετὰ τὸ πεσεῖν πάλιν ἀνήγαγές με. Μακάριος ὃς διὰ
after the to-fall again you-led-up me blessed who because-of
Θεὸν καθ' ἡμέρας λοιδορούμενος, καὶ ἐξουδενούμενος ἑαυτὸν
God each day reviled and despised himself
ἐβιάσατο. Μετὰ μαρτύρων χορεύσει οὗτος, καὶ μετὰ
forced with martyrs will-dance this(-man) and with
ἀγγέλων παῤῥησιάσεται. Μακάριος μοναχός, ὃς πάσης
angels will-speak-boldly blessed monk who of-every
ἀτιμίας καὶ ἐξουδενώσεως ἑαυτὸν ἄξιον καθ' ὥραν λογίζεται·
dishonor and contempt himself worthy every hour reckons
μακάριος ὃς τὸ ἑαυτοῦ θέλημα εἰς τέλος ἐνέκρωσε, καὶ
blessed who the own will to (the)-end mortified and
τῷ ἐν κυρίῳ διδασκάλῳ τὴν ἑαυτοῦ ἐκδέδωκεν ἐπιμέλειαν·
to-the in (the)-lord teacher the own has-given-over care
ἐκ δεξιῶν γὰρ τοῦ σταυρωθέντος σταθήσεται. Εἴ τις
on right for of-the(-one) crucified he-will-stand if anyone
ἔλεγχον δίκαιον, ἢ ἄδικον ἐξ ἑαυτοῦ ἀπερῥίψατο, οὗτος
rebuke just or unjust from himself cast-off he
τὴν ἑαυτοῦ σωτηρίαν ἠρνήσατο. Εἰ δέ τις τοῦτον μετὰ
the own salvation denied if but anyone it with
πόνου, ἢ καὶ ἀπόνως κατεδέξατο, ταχέως τῆς τῶν ἑαυτοῦ
pain or even painlessly accepted quickly of-the of-the own

πταισμάτων ἀφέσεως τεύξεται· Θεῷ νοερῶς πρὸς τὸν σὸν
failings forgiveness he-will-obtain to-God spiritually toward the your
πατέρα πίστιν, καὶ ἀγάπην εἰλικρινῶς ὑποδείκνυε, κἀκεῖνος
father faith and love sincerely show and-that-one
ἀγνώστως τοῦτον λοιπὸν πληροφορήσει κατὰ τὴν σὴν
unknowingly him thereafter will-assure according-to the your
πρὸς αὐτὸν διάθεσιν προστεθῆναι, καὶ οἰκειωθῆναί σοι.
toward him disposition to-be-attached and to-be-made-familiar to-you
Ὁ πάντα ὄφιν στηλιτεύων πίστιν ἐναργῆ ἔδειξεν.
the(-one) every serpent exposing faith clear showed
Ὁ δὲ ἀποκρύπτων, εἰς ἀνοδίας ἔτι πεπλάνηται. Τότε
the(-one) but hiding into pathlessness still has-wandered then
τὴν ἑαυτοῦ φιλαδελφίαν, καὶ κυρίως ἀγάπην ἐπιγνώσεταί
the own brotherly-love and properly love will-recognize
τις, ὅταν ἑαυτὸν πενθοῦντα ἐπὶ τοῖς τοῦ ἀδελφοῦ
someone when himself mourning at the of-the brother
σφάλμασιν ὄψεται· καὶ ὅταν ἀγαλλόμενον ἐπὶ ταῖς ἐκείνου
slips he-sees and when rejoicing at the that-one's
προκοπαῖς, καὶ χαρίσμασιν. Ὁ ἐν διαλέξει τὸν ἑαυτοῦ
advances and gifts the(-one) in discussion the own
λόγον, κἂν ἀληθῆ λέγει, συστῆσαι θέλων καὶ βουλόμενος,
word even-if true he-says to-establish willing and wishing
γινωσκέτω τὸν τοῦ διαβόλου νόσον νοσεῖν. Καὶ εἰ μὲν
let-him-know the of-the devil disease to-be-sick-with and if indeed
ἐν τῇ πρὸς τοὺς ἴσους συλλαλιᾷ τοῦτο ἐργάζεται, ἴσως
in the with the equals conversation this he-does perhaps
ἔστιν αὐτὸν ἰαθῆναι ἐκ τῆς τῶν μειζόνων ἐπιτιμίας.
it-is-possible him to-be-healed from the of-the greater(-ones) rebuke
Εἰ δὲ καὶ πρὸς τοὺς μείζονας ἢ σοφωτέρους οὕτως
if but also toward the greater(-ones) or wiser thus
διάκειται· παρὰ ἀνθρώποις τοῦτο ἀνίατον. Ὁ λόγῳ
he-is-disposed among men this incurable the(-one) in-word

μὴ ὑποβεβηκώς, δῆλον ὅτι οὐδὲ ἔργῳ. Ὁ γὰρ ἐν
not subordinate clear that not-even in-deed the(-one) for in
ὀλίγῳ ἄπιστος, καὶ ἐν ἔργῳ ἄκλιτός ἐστι, μάτην κοπιῶν,
little faithless also in deed unbending is in-vain toiling
καὶ τῆς ὁσίας ὑποταγῆς οὐδέν, εἰ κρῖμα ἑαυτῷ,
and from-the holy submission nothing if-not judgment for-himself
κομιζόμενος. Εἴ τις τὸ ἑαυτοῦ συνειδὸς καθαρὸν εἰς
receiving if anyone the own conscience pure to
ἄκρον εἰς τὴν παρὰ τοῦ πατρὸς ὑποταγὴν ἐκτήσατο·
(the)-utmost in the toward the father submission acquired
οὗτος λοιπὸν τὸν θάνατον ὥσπερ ὕπνον, μᾶλλον δὲ
he thereafter the death as sleep rather and
ζωήν, καθ' ἡμέραν ἐκδεχόμενος οὐ πτοεῖται· γινώσκων ἐν
life each day expecting not is-terrified knowing in
βεβαίῳ, ὡς οὐκ αὐτὸς ἐν καιρῷ τοῦ χωρισμοῦ, ἀλλὰ
certainty that not he-himself in time of-the separation but
προεστὼς λογοθετηθήσεται. Εἴ τις ἐν Κυρίῳ ἀβιάστως
the-superior will-be-called-to-account if anyone in (the)-Lord without-constraint
ἐκ τοῦ πατρὸς ἐγχείρημα διακονίας εἰληφώς, ἀδόκητόν
from the father a-task of-service having-received unexpected
τι πέπονθεν ἐν αὐτῇ πρόσκομμα, μὴ τῷ δεδωκότι
some has-suffered in it stumbling not to-the(-one) having-given
τὸ ὅπλον, ἀλλὰ τῷ δεξαμένῳ τὴν αἰτίαν ἐπιγράφοιτο.
the weapon but to-the(-one) having-received the cause let-him-ascribe
Εἴληφεν γὰρ ὅπλον πρὸς μάχην ἐχθροῦ, προσήνεγκε δὲ
he-received for a-weapon for battle of-(the)-enemy turned and
αὐτὸ τῇ ἑαυτοῦ καρδίᾳ. Εἰ δὲ βεβίασται ἑαυτὸν διὰ
it on-the own heart if but he-has-forced himself because-of
Κύριον, καὶ τὴν ἑαυτοῦ ἀσθένειαν τῷ διδόντι προεῖπεν,
(the)-Lord and the own weakness to-the(-one) giving foretold
θαρσείτω· κἂν γὰρ πέπτωκεν, οὐκ ἀπέθανε. Λέληθα
let-him-take-courage even-if for he-has-fallen not he-has-died I-forgot

ὑμῖν, ὦ φίλοι, καὶ τοῦτον παραθεῖναι τὸν ἡδὺν τῆς ἀρετῆς
you O friends also this to-set-before the sweet of-the virtue
ἄρτον, ὡς ἑώρακα ἐν Κυρίῳ ὑπηκόους ταῖς ὕβρεσιν
bread how I-have-seen in (the)-Lord obedient(-ones) with-the insults
ἑαυτοὺς ἐκτρίβοντας κατὰ Θεὸν ἀτιμάζοντας, ἵνα ἐπὶ
themselves rubbing according-to God dishonoring that for
ταῖς ἔξωθεν προσφερομέναις αὐτοῖς προπαρασκευασμένοι
the from-outside offered to-them prepared-beforehand
τυγχάνωσιν ἐπ᾽ ἀτιμίαις μὴ πτύρεσθαι· ψυχὴ ἐξαγόρευσιν
they-may-be at dishonors not to-be-frightened a-soul confession
ἐννοουμένη, ὡς ὑπὸ χαλινοῦ, ὑπὸ ταύτης κατέχεται, μὴ
thinking-of as by a-bridle by it is-held not
ἁμαρτάνειν. Τὰ γὰρ ἀνεξαγόρευτα ὡς ἐν σκότει ἀδεῶς
to-sin the for unconfessed as in darkness fearlessly
λοιπὸν πράττομεν. Ὅταν τοῦ προεστῶτος ἀπόντος, τὸ
thereafter we-do when the superior being-absent the
αὐτοῦ πρόσωπον ἐξεικονίζοντες, τοῦτον παρίστασθαι ἡμῖν
his face picturing him to-stand-by us
νομίζωμεν, καὶ πᾶσαν συντυχίαν, ἢ λόγον, ἢ βρῶσιν, ἢ
we-think and every conversation or word or food or
ὕπνον, ἢ ἄλλο τι πρὸς ὃ ὑπειλήφαμεν ἀηδῶς αὐτὸν
sleep or other anything toward which we-have-supposed displeased him
ἔχειν ἐν ἡμῖν ἀποστρεφώμεθα· τότε ἀληθῶς ἐγνώκαμεν
to-be in us we-turn-away then truly we-have-known
ὑπακοὴν ἀνόθευτον. Οἱ μὲν νόθοι τῶν παίδων χαρὰν τὴν
obedience uncounterfeit the indeed bastard of-the children joy the
τοῦ διδασκάλου ἀπουσίαν· οἱ δὲ γνήσιοι ζημίαν ταύτην
of-the teacher absence the but genuine loss it
λογίζονται.
reckon

15 Ἠρώτησά ποτέ τινα τῶν δοκιμωτάτων δυσωπῶν, πῶς
I-asked once one of-the most-approved beseeching how
ἡ ὑπακοὴ τὴν ταπεινοσύνην κέκτηται· ὁ δέ φησι· «Κἂν
the obedience the humility possesses he but says even-if
νεκροὺς ὁ εὐγνώμων ὑπήκοος ἀναστήσῃ· κἂν δάκρυον
dead the grateful obedient(-man) raises even-if tear
κτήσηται· κἂν ἀπαλλαγὴν πολέμων, λογίζεται πάντως, ὅτι
he-acquires even-if deliverance from-wars he-reckons surely that
ἡ τοῦ πνευματικοῦ πατρὸς εὐχὴ τοῦτο ἐποίησε· καὶ μένει
the of-the spiritual father prayer this did and remains
αὐτὸς ἐκ τῆς ματαίας οἰκήσεως ξένος, καὶ ἀλλότριος·»
he-himself from the vain dwelling a-stranger and alien
Πῶς γὰρ ἂν καὶ ὑψωθήσεται ἐπ᾽ ἐκεῖνο, ὃ ἐξ ἑτέρας
how for — also will-he-be-exalted at that which from another's
βοηθείας λέγει, πεποιηκέναι, καὶ οὐκ ἐκ τῆς αὐτοῦ
help he-says to-have-done and not from the his-own
σπουδῆς· οὐκ οἶδεν ἡσυχαστὴς τὴν τῶν προειρημένων
zeal not knows (the)-solitary the of-the aforesaid
ἐργασίαν· τὰ δίκαια γὰρ πρὸς αὐτὸν ἡ οἴησις κέκτηται
work the rights for over him the conceit possesses
ἰδίᾳ σπουδῇ τὰ κατορθώματα αὐτῷ ὑποβάλλουσα
by-own zeal the achievements to-him suggesting
ἐπιτελεῖν. Δύο νενικηκὼς ὁ ὢν ἐν ὑποταγῇ δόλους,
to-accomplish two having-conquered the(-one) being in submission tricks
μένει λοιπὸν δοῦλος Χριστοῦ αἰώνιος ὑπήκοος· πυκτεύει
remains thereafter a-slave of-Christ eternal obedient(-one) boxes
ὁ δαίμων τοὺς ὑπηκόους, ποτὲ μὲν μολυσμοῖς μολύνειν,
the demon the obedient sometimes indeed with-defilements to-defile
καὶ σκληροκαρδίους ἐργάζεσθαι, τούτους ταραχώδεις παρὰ
and hard-hearted to-make them disturbed beyond
συνήθειαν γίνεσθαι ἐκμοχλεύων, ποτὲ δὲ ξηρούς τινας,
custom to-become prying sometimes and dry some

καὶ ἀκάρπους, καὶ περὶ τὴν προσευχὴν ὀκνηροτέρους,
and fruitless and about the prayer more-sluggish
ὑπνώδεις τε καὶ ἐσκοτισμένους, ἵν' ὡς μηδὲν ἐκ τῆς
sleepy both and darkened that as nothing from the
ὑποταγῆς ὠφεληθέντας, ἀλλὰ καὶ κατόπιν βαδίσαντας,
submission having-benefited but even backward having-walked
τῆς ἀθλήσεως ἀποσπάσῃ. Οὐ γὰρ συγχωρεῖ αὐτοῖς
from-the contest he-may-drag-away not for he-allows them
ἐννοεῖν, ὅτι πολλάκις ἡ τῶν δοκούντων ἐν ἡμῖν ἀγαθῶν
to-consider that often the of-the seeming in us good-things
οἰκονομικὴ ἀφαίρεσις βαθυτάτης ταπεινοφροσύνης γίνεται
providential removal of-deepest humility becomes
πρόξενος. Ἀπεκρούσθη δι' ὑπομονῆς πολλάκις παρά τισιν
cause was-repelled through endurance often by some
ὁ προλεχθεὶς ἀπατεών. Εἶτα ἔτι τούτου λαλοῦντος, ἕτερος
the aforesaid deceiver then still him speaking another
ἄγγελος παραστὰς μετ' ὀλίγον ἑτέρῳ τρόπῳ ἀπατᾷν ἡμᾶς
messenger standing-by after a-little in-another way to-deceive us
δοκιμάζει. Εἶδον ὑπηκόους εὐκατανύκτους, προσηνεῖς,
tries I-saw obedient(-ones) easily-moved-to-compunction gentle
ἐγκρατεῖς, σπουδαίους, ἀπολεμήτους, θερμοὺς ἐκ τῆς τοῦ
continent zealous unassailed fervent from the of-the
πατρὸς σκέπης γεγονότας· οἷς οἱ δαίμονες ἐπιστάντες
father protection having-come to-whom the demons approaching
δυνατοὺς εἶναι λοιπὸν πρὸς ἡσυχίαν ὑπέσπειραν, ὡς πρὸς
able to-be thereafter for stillness suggested as to
τέλειον λοιπὸν ἔπαθλον, καὶ πρὸς ἀπάθειαν δι' ἐκείνης
perfect thereafter prize and to dispassion through that
καταντῆσαι ἰσχύοντας· καὶ μέντοι ἀπατηθέντες τοῦ λιμένος
to-arrive being-strong and yet deceived from-the harbor
ἐπὶ τὸ πέλαγος χωρήσαντες, ζάλης αὐτῆς καταλαβούσης,
to the open-sea having-gone storm it having-overtaken

κυβερνητῶν μὴ εὐπορήσαντες, ἐλεεινῶς ὑπὸ τῆς θαλάσσης
of-helmsmen not having-been-provided pitiably by the sea
ταύτης τῆς ῥυπερᾶς καὶ ἁλμυρᾶς ἐκινδύνευσαν· ἀνάγκη
this the filthy and salty were-endangered necessity
τὴν θάλασσαν ταραχθῆναι καὶ ἀγριωθῆναι, ἵνα τότε τὴν
the sea to-be-troubled and to-be-made-savage that then the
ὕλην, ἥνπερ οἱ ποταμοὶ τῶν παθῶν, καὶ τὸν χόρτον, καὶ
matter which the rivers of-the passions and the grass and
πᾶσαν σαπρίαν ἐν αὐτῇ κατήγαγον, δι᾽ αὐτῶν πάλιν ἐν
all rottenness in it brought-down through them again on
τῇ γῇ ἀπορῥίψηται· ἐπισκεψώμεθα, καὶ εὑρήσομεν μετὰ
the land it-may-cast-out let-us-consider and we-will-find after
τὴν ἐν τῇ θαλάσσῃ ζάλην βαθείαν γινομένην γαλήνην.
the in the sea storm deep coming calm
Ὁ ποτὲ μὲν ὑπακούων, ποτὲ δὲ παρακούων τοῦ
the(-one) sometimes indeed obeying sometimes and disobeying the
πατρός, ὅμοιός ἐστι ἀνδρὶ τῷ ποτε μὲν κολλούριον,
father like is to-a-man the(-one) sometimes indeed eye-salve
ποτὲ δὲ ἄσβεστον τῷ ἑαυτοῦ ὀφθαλμῷ προσάγοντι. Εἷς
sometimes and quicklime to-the own eye applying one
γάρ, φησίν, οἰκοδομῶν, καὶ εἷς καταλύων, τί ὠφέλησεν,
for he-says building and one pulling-down what did-it-profit
ἀλλ᾽ ἢ κόπους; Μὴ ἀπατῶ, ὦ υἱὲ ὑπάκοε Κυρίου,
but — toils not be-deceived O son obedient of-(the)-Lord
πνεύματι οἰήσεως, καὶ ὡς ἐξ ἑτέρου δῆθεν προσώπου
by-(the)-spirit of-conceit and as from another supposedly person
τὰ σὰ πλημμελήματα τῷ διδασκάλῳ ἀπάγγελε. Οὐ γάρ
the your faults to-the teacher report not for
ἐστιν ἐκτὸς αἰσχύνης, αἰσχύνης ἀπαλλαγῆναι. Γύμνου
it-is-possible without shame from-shame to-be-freed bare
σὸν μώλωπα τῷ ἰατρῷ· εἰπέ, καὶ μὴ αἰσχυνθῇς. Ἐμὸν
your wound to-the physician say and not be-ashamed mine

τὸ τραῦμα, πάτερ· ἐμὴ ἡ πληγή· ἐξ οἰκείας ῥᾳθυμίας,
the wound father mine the blow from own indolence
καὶ οὐκ ἐξ ἑτέρου προσγενομένη· οὐδεὶς ταύτης αἴτιος·
and not from another having-come no-one of-it cause
οὐκ ἄνθρωπος, οὐ πνεῦμα, οὐ σῶμα, οὔ τι ἕτερον,
not man not spirit not body not anything other
ἀλλ᾽ ἡ ἐμὴ ἀμέλεια. Γίνου καὶ τῷ εἴδει καὶ τῷ
but the my negligence be both in-the look and in-the
λογισμῷ ὡς κατάδικος ἐπὶ τῇ ἐξομολογήσει· εἰς γῆν
thought as a-convict at the confession to earth
νενευκώς, καὶ εἰ δυνατόν, τοὺς τοῦ κριτοῦ καὶ ἰατροῦ
having-bent and if possible the of-the judge and physician
πόδας, ὡς τοῦ Χριστοῦ, δάκρυσι βρέχων. Ἔθος πολλάκις
feet as — of-Christ with-tears wetting custom often
τοῖς δαίμοσιν, ἢ μὴ ἐξομολογεῖσθαι ἡμᾶς ὑποβάλλειν·
for-the demons either not to-confess us to-suggest
ἢ ὡς ἐκ προσώπου ἑτέρου τοῦτο ποιεῖν· ἢ τινὰς ἐπὶ
or as from person another this to-do or some for
τῇ ἑαυτῶν ἁμαρτίᾳ καταμέμφεσθαι ὡς αἰτίους.
the own sin to-blame as causes
Εἰ πάντα συνηθείᾳ ἤρτηνται, καὶ ἐπακολουθοῦσι, πολλῷ 16
if all-things on-habit depend and follow by-much
πλέον πάντως τὰ ἀγαθά, ὡς μέγαν συνεργὸν ἔχοντα τὸν
more surely the good-things as a-great fellow-worker having —
Θεόν. Οὐ κοπιάσεις, υἱέ, ἐν πολλοῖς ἔτεσιν εὑρεῖν ἐν σοὶ
God not you-will-toil son in many years to-find in you
τὴν μακαρίαν ἀνάπαυσιν, ἐὰν ἐν ἀρχαῖς ὁλοψύχως ἑαυτὸν
the blessed rest if in beginnings wholeheartedly yourself
failings good-things working repentance is of-conscience
καθαρισμός. Μετάνοια ἑκούσιος πάντων τῶν θλιβερῶν
cleansing repentance a-willing of-all the afflicting-things
ὑπομονή. Μετανοῶν ἐστι δημιουργὸς οἰκείων κολάσεων.
endurance (the)-penitent is a-maker of-his-own punishments

Μετάνοιά ἐστι θλῖψις γαστρὸς ἰσχυρά, καὶ ψυχῆς πλῆξις
repentance is affliction of-(the)-belly strong and of-soul a-blow
ἐν αἰσθήσει κραταιᾷ. Συνδράμετε, καὶ προσέλθετε, δεῦτε
in perception mighty run-together and approach come
καὶ ἀκούσετε, καὶ διηγήσομαι ὑμῖν· πάντες οἱ τὸν
and hear and I-will-tell you all those —
Θεὸν παροργίσαντες, ἀθροίσθητε καὶ ἴδετε, ὅσα πρὸς
God having-angered gather and see what-things for
οἰκοδομὴν ὑπέδειξε τῇ ψυχῇ μου. Προτάξωμεν καὶ
edification he-showed to-the soul my let-us-put-first and
προτιμήσωμεν τετιμημένων ἀτίμων ἐργατῶν διήγησιν.
let-us-prefer of-honored dishonored workers (the)-story
Ἀκούσωμεν καὶ φυλάξωμεν, καὶ ποιήσωμεν, ὅσοι τι
let-us-hear and let-us-keep and let-us-do as-many-as any
ἀδόκιμον πτῶμα πεπόνθαμεν. Ἀνάστητε καὶ καθίστατε, οἱ
unapproved fall have-suffered arise and sit those
διὰ τῶν πτωμάτων κατακείμενοι. Προσέχετε, ἀδελφοί
through the falls lying-down attend brothers
μου, τούτῳ τῷ λόγῳ μου· κλίνατε τὸ οὖς ὑμῶν οἱ τὸν
my to-this the word my incline the ear your those —
Θεὸν πάλιν ἑαυτοῖς δι᾽ ἐπιστροφῆς ἀληθοῦς διαλλάξαι
God again to-themselves through turning true to-reconcile
βουλόμενοι. Ἀκούσας ἐγὼ ὁ ἀσθενὴς μεγάλην τινὰ καὶ
wishing having-heard I the weak great some and
ξένην εἶναι τὴν κατάστασιν καὶ τὴν ταπείνωσιν τῶν
strange to-be the state and the humility of-those
ἐν τῇ μονῇ τῇ ἰδιαζούσῃ τῇ λεγομένῃ φυλακῇ, τῇ
in the monastery the separate the called prison the
ὑποκειμένῃ τῷ προμνημονευθέντι φωστῆρι ἐκείνῳ τῶν
subject to-the aforementioned luminary that of-the
φωστήρων, ἐκεῖσέ μου ἔτι ὄντος, ἱκέτευσα τὸν δίκαιον
luminaries there I still being I-begged the just(-one)

παραγενέσθαι με ἐκεῖσε· καὶ δὴ εἶξεν ὁ μέγας, μηδ'
to-go me there and indeed yielded the great(-one) not
ὅλως ποτὲ ψυχὴν λυπῆσαι θέλων. Παραγενόμενος οὖν ἐγὼ
at-all ever a-soul to-grieve wishing having-come then I
ἐπὶ τῇ τῶν μετανοούντων μονῇ, καὶ ὄντως πενθούντων
to the of-the repenting monastery and truly of-mourning
χώρᾳ, ἑώρακα ἀληθῶς, εἰ μὴ τολμηρὸν εἰπεῖν, ἃ
land I-have-seen truly if not rash to-say what-things
ὡς ἔτυχεν ὀφθαλμὸς ἀνθρώπου ἀμελοῦς οὐκ εἶδε, καὶ
as it-happened (the)-eye of-a-man careless not saw and
οὖς ῥᾳθύμου οὐ δέχεται, καὶ ἐπὶ καρδίαν ὀκνηροῦ
(the)-ear of-an-indolent-man not receives and upon (the)-heart of-a-sluggard
οὐκ ἀνέβη· πράγματα καὶ ῥήματα τὸν Θεὸν δυνάμενα
not came-up deeds and words — God able
βιάσασθαι, ἐπιτηδεύματά τε καὶ σχήματα τὴν αὐτοῦ
to-force practices both and postures the his
φιλανθρωπίαν συντόμως κατακάμπτοντα. Τοὺς μὲν τῶν
love-for-man quickly bending those indeed of-the
ὑπευθύνων ἐκείνων τῶν ἀνευθύνων παννυχὶ μέχρι πρωΐας
guilty those the guiltless all-night until morning
ἱσταμένους αἰθρίους, τοὺς πόδας ἀκινήτους ἔχοντας, καὶ
standing in-the-open-air the feet unmoved having and
τῷ ὕπνῳ ἐλεεινῶς κατακλονουμένους τῇ βίᾳ ταύτης
by-the sleep pitiably being-shaken by-the violence of-this
τῆς φύσεως, καὶ μηδεμίαν ἀνάπαυσιν αὑτοῖς χαριζομένους·
the nature and no rest to-themselves granting
ἀλλ' ἑαυτοὺς ἐπιπλήσσοντας καὶ ἀτιμίαις καὶ ὕβρεσι
but themselves rebuking and with-dishonors and insults
διυπνίζοντας· ἄλλους εἰς οὐρανὸν ἀτενίζοντας, καὶ τὴν
rousing others to heaven gazing and the
ἐκεῖθεν βοήθειαν μετ' ὀδυρμῶν καὶ βοῶν ἐπικαλουμένους·
from-there help with lamentations and cries invoking

ἑτέρους ἐν προσευχῇ παρισταμένους, καὶ ὄπισθεν ἑαυτῶν
others at prayer standing and behind themselves
καταδίκων δίκην τὰς χεῖρας συνδήσαντας, εἰς γῆν τε
convicts like the hands having-bound to earth and
τὸ σκοτεινὸν αὐτῶν πρόσωπον κλίναντας, καὶ ἀναξίους
the darkened their face having-bowed and unworthy
ἑαυτοὺς τῆς εἰς οὐρανὸν ἀναβλέψεως καταδικάσαντας,
themselves of-the to heaven looking-up having-condemned
μηδέ τι εἰπεῖν, ἢ φθέγξασθαι, ἢ εὔξασθαι πρὸς Θεόν,
nor anything to-say or to-utter or to-pray to God
ὑπὸ τῆς τῶν λογισμῶν καὶ τοῦ συνειδότος ἀτιμίας
from the of-the thoughts and of-the conscience dishonor
εὐποροῦντας, μηδὲ πῶς ἢ πόθεν τὴν ἱκεσίαν ποιήσασθαι
able nor how or whence the supplication to-make
εὑρίσκοντας, μόνην ψυχὴν ἄλογον, καὶ νοῦν ἄφωνον τῷ
finding only a-soul speechless and a-mind voiceless —
Θεῷ παριστῶντας, σκοτίας πεπληρωμένους, καὶ ψιλῆς
to-God presenting with-darkness filled and with-bare
ἀπογνώσεως· ἄλλους ἐν τῷ ἐδάφει ἐπὶ σάκκου καὶ σποδοῦ
despair others on the floor on sackcloth and ashes
καθημένους, καὶ τὸ πρόσωπον τοῖς γόνασι καλύπτοντας,
sitting and the face with-the knees covering
καὶ τὸ μέτωπον εἰς γῆν τύπτοντας· ἑτέρους τὸ στῆθος
and the forehead on earth striking others the breast
διαπαντὸς τύπτοντας, καὶ τὴν ἑαυτῶν ψυχὴν καὶ ζωὴν
continually striking and the own soul and life
ἀνακαλουμένους. Οἱ μὲν ἐν ἐκείνοις τὸ ἔδαφος τοῖς
calling-back the indeed among them the floor with-the
δάκρυσιν ἔβρεχον· οἱ δὲ δακρύων ἀποροῦντες ἑαυτοὺς
tears wetted the but of-tears lacking themselves
κατέκοπτον. Οἱ μὲν ὡς ἐπὶ ταῖς ἑαυτῶν ψυχαῖς ὠλόλυζον,
beat the indeed as over the their-own souls wailed

τὴν συνοχὴν τῆς καρδίας φέρειν μὴ ἰσχύοντες· οἱ δὲ
the constraint of-the heart to-bear not able the and
τῇ καρδίᾳ ἔβρυχον, καὶ τῷ στόματι τὸν τοῦ ὀδυρμοῦ
in-the heart roared and with-the mouth the of-the lamentation
ψόφον διεκώλυον. Ἔστι δὲ ὅτε μηκέτι κρατεῖν ἰσχύοντες
sound checked there-is and when no-longer to-restrain able
αἰφνιδίως ἀνέκραζον. Εἶδον ἐγὼ ἐκεῖ τινας ὥσπερ ἑαυτῶν
suddenly they-cried-out I-saw I there some as-if themselves
ἐξεστηκότας τῷ ἤθει καὶ τῇ συννοίᾳ ἐννεούς τινας τῇ
beside-themselves in-the manner and in-the dejection stupefied some by-the
πολλῇ ἀδημονίᾳ γεγονότας ὅλους ἐσκοτισμένους, καὶ ὥσπερ
great distress having-become wholly darkened and as-if
ἀναισθήτους πρὸς πάντα τὰ τοῦ βίου τυγχάνοντας,
insensible toward all the-things of-the life being
τῷ νοῒ λοιπὸν ἐν τῇ ἀβύσσῳ τῆς ταπεινώσεως
with-the mind thereafter in the abyss of-the humility
καταδύσαντας, καὶ τῷ πυρὶ τῆς ἀθυμίας τὰ τῶν
having-sunk and with-the fire of-the despondency the of-the
ὀφθαλμῶν δάκρυα ἀποτηγανίσαντας· ἄλλους καθημένους
eyes tears having-dried-up others sitting
σύννους εἰς γῆν νενευκότας, καὶ τὴν ἑαυτῶν κεφαλὴν
pensive to earth bowed and the own head
ἀδιαλείπτως κινοῦντας, καὶ δίκην λεόντων καρδίας
unceasingly moving and like lions from-(the)-heart
καὶ ὀνύχων βρύχοντας καὶ στένοντας. Οἱ μὲν ἐν
and from-(the)-nails roaring and groaning the indeed among
ἐκείνοις ἄφεσιν εὐελπίστως παντελῆ ἐπεζήτουν καὶ ηὔχοντο·
them forgiveness hopefully complete sought and prayed
ἕτεροι ἀναξίους ἑαυτοὺς τῆς ἀφέσεως ἐκ ταπεινώσεως
others unworthy themselves of-the forgiveness from humility
ἀφάτου κατεδίκαζον, καὶ μὴ ἰσχύειν ἀπολογήσασθαι τῷ
unspeakable condemned and not to-be-able to-make-defense —

Θεῷ ἀνέκραζον. Τινὲς μὲν ἐνταῦθα κολασθῆναι, κἀκεῖ
to-God cried-out some indeed here to-be-punished and-there
ἐλεηθῆναι ἐδυσώπουν τὸν Κύριον· ἕτεροι συντετριμμένοι
to-be-shown-mercy besought the Lord others crushed
ὑπὸ τοῦ βάρους τοῦ συνειδότος ὑπάρχοντες, μήτε
by the weight of-the conscience being neither
κολασθῆναι, μήτε τῆς βασιλείας ἀξιωθῆναι εἰλικρινῶς
to-be-punished nor of-the kingdom to-be-deemed-worthy sincerely
ἔλεγον· Καὶ ἀρκετὸν ἡμῖν, φασίν, ἔστιν. Ἑώρακα ἐκεῖ
said and sufficient for-us they-say it-is I-have-seen there
ψυχὰς ταπεινὰς καὶ συντετριμμένας, καὶ κατακαμπτομένας
souls lowly and crushed and bent-down
ὑπὸ τοῦ βάρους τοῦ φορτίου ὑπαρχούσας, καὶ αὐτὴν τὴν
by the weight of-the burden being and the-very the
τῶν λίθων αἴσθησιν κατανύξαι δυναμένας, ἐπὶ ταῖς παρ᾽
of-the stones perception to-pierce able at the from
αὐτῶν πρὸς Θεὸν βοωμέναις φωναῖς καὶ ῥήμασιν· ἔλεγον
them to God crying voices and words they-said
γὰρ κάτω εἰς γῆν νενευκότες· Οὕτως οἴδαμεν, οἴδαμεν ὅτι
for down to earth bowed thus we-know we-know that
ἄξιοι λοιπὸν πάσης τιμωρίας καὶ κολάσεώς ἐσμεν, καὶ
worthy thereafter of-all punishment and chastisement we-are and
δικαίως· οὐδὲ γὰρ ἐξαρκοῦμεν λοιπὸν πρὸς ἀπολογίαν
justly not-even for we-suffice thereafter for defense
τοῦ πλήθους τοῦ ἡμετέρου χρέους, οὐδ᾽ ἂν πᾶσαν τὴν
of-the multitude of-the our debt not-even if all the
οἰκουμένην ὑπὲρ ἡμῶν πενθοῦσαν συγκαλέσωμεν. Ἐκεῖνο
inhabited-world for us mourning we-call-together that
δὲ μόνον ἐρωτῶμεν, ἐκεῖνο δυσωποῦμεν, ἐκεῖνο ἱκετεύομεν
but only we-ask that we-beseech that we-implore
λοιπόν· Μὴ τῷ θυμῷ ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ
thereafter not in-the anger rebuke us nor in-the wrath

σου παιδεύσῃ ἡμᾶς. Ἀλλὰ φειδομένως, καὶ ἀρκετὸν ἡμῖν
your chasten us but sparingly and sufficient for-us
τῆς πολλῆς σου ἀπειλῆς, καὶ βασάνων ἀνωνύμων
from-the great your threat and torments nameless
καὶ ἀποκρύφων ἐλευθερωθῆναι· εἰς τέλος γὰρ ἄφεσιν
and hidden to-be-freed to (the)-end for forgiveness
αἰτήσασθαι, οὐ τολμῶμεν. Πῶς γὰρ οἱ τὸ ἑαυτῶν
to-ask not we-dare how for we-who the our-own
ἐπάγγελμα μὴ φυλάξαντες ἄμωμον, ἀλλὰ τοῦτο μετὰ
profession not having-kept blameless but this after
τὴν προτέραν φιλανθρωπίαν, καὶ ἄφεσιν ῥυπώσαντες;
the former love-for-man and forgiveness having-soiled
Ἦν ἐκεῖ τὰ τοῦ Δαυῒδ ἐναργῶς θεάσασθαι ῥήματα,
it-was-possible there the — of-David manifestly to-behold words
ταλαιπωροῦντας ἰδέσθαι, κατακαμπτομένους ἕως τέλους
wretched to-see bent-down until (the)-end
τῆς ἑαυτῶν ζωῆς· ὅλην τὴν ἡμέραν σκυθρωπάζοντας
of-the their-own life all the day going-about-sad
πορευομένους· προσόζοντας καὶ σεσημμένους σώματος
going stinking and festering of-body
μώλωπας, καὶ ἀνεπιμελήτους ὑπάρχοντας, ἐπιλανθανομένους
wounds and uncared-for being forgetting
τοῦ φαγεῖν τὸν ἄρτον αὐτῶν· τὸ δὲ πόμα τοῦ ὕδατος
the to-eat the bread their the and drink of-the water
μετὰ κλαυθμοῦ κιρνῶντας· καὶ σποδόν, καὶ τέφραν ἀντὶ
with weeping mixing and ashes and dust instead-of
ἄρτου ἐσθίοντας· καὶ κεκολλημένα ἔχοντας τὰ ὀστᾶ τῇ
bread eating and cleaving having the bones to-the
σαρκί· καὶ αὐτοὺς ὡσεὶ χόρτος ἐξηραμμένους. Οὐδὲν ἦν
flesh and themselves like grass withered nothing was
ἕτερον παρ᾽ αὐτοῖς ἀκούειν, εἰ μὴ ταῦτα τὰ ῥήματα·
other among them to-hear if not these the words

Οὐαί, οὐαί, οἵ μοι, οἵμοι, δικαίως, δικαίως· φεῖσαι, φεῖσαι,
woe woe woe me alas justly justly spare spare
Δέσποτα. Οἱ μὲν ἔλεγον· Ἐλέησον, ἐλέησον· οἱ δὲ πάλιν
Master the indeed said have-mercy have-mercy the and again
ἔτι ἐλεεινότερον· Συγχώρησον, Δέσποτα, συγχώρησον ἐὰν
still more-pitiably pardon Master pardon if
ἐνδέχεται. Ἦν ἐν ἐκείνοις γλώσσας φλεγομένας
it-is-possible it-was-possible among them tongues burning
ἰδέσθαι, καὶ δίκην κυνῶν τοῦ στόματος προβαλλομένας.
to-see and like dogs from-the mouth thrust-out
Οἱ μὲν ἐν τῷ καύσωνι ἑαυτοὺς ἐτιμώρουν· οἱ δὲ ἐν τῷ
the indeed in the heat themselves punished the and in the
ψύχει ἑαυτοὺς ἐβασάνιζον. Ἔνιοι μὲν μικρὸν τοῦ ὕδατος
cold themselves tormented some indeed a-little of-the water
ἀπογευόμενοι, ἐπαύοντο, ὅσον μόνον μὴ ἐκ δίψης
tasting stopped as-much-as only not from thirst
ἀποθνήσκειν· οἱ δὲ τοῦ ἄρτου μικρὸν μεταλαμβάνοντες,
to-die the and of-the bread a-little partaking
τοῦτον τῇ χειρὶ μακρὰν ἀπέῤῥιπτον, ἀναξίους ἑαυτοὺς
it with-the hand far threw-away unworthy themselves
λέγοντες λογικῆς βρώσεως ὡς τὰ τῶν ἀλόγων
saying of-rational food as the-things of-the irrational(-beasts)
διαπραξαμένους. Ποῦ ἐν ἐκείνοις γέλωτος ἐμφάνεια; ποῦ
having-done where among them of-laughter appearance where
ἀργολογία; ποῦ θυμός; ποῦ ὀργή; Οὐδὲ εἰ ἔστιν ὀργὴ
idle-talk where temper where anger not-even if there-is anger
παῤ ἀνθρώποις λοιπὸν ἠπίσταντο· τοῦ πένθους εἰς τέλος
among men thereafter they-knew the mourning to the-end
τὸν θυμὸν ἀπολέσαντος. Ποῦ ἀντιλογία; ποῦ ἑορτή; ποῦ
the temper having-destroyed where dispute where feast where
παῤῥησία; ποῦ θεραπεία σώματος; ποῦ ἴχνος κενοδοξίας;
license where care of-body where trace of-vainglory

ποῦ τρυφῆς λοιπὸν ἐλπίς; ποῦ οἴνου ἔννοια; ποῦ ὀπώρας
where of-luxury thereafter hope where of-wine thought where of-fruit
γεῦσις; ποῦ χύτρας παράκλησις; ποῦ λάρυγγος γλυκασμός;
taste where of-(the)-pot comfort where of-(the)-throat sweetness
Πάντων γὰρ τούτων λοιπὸν ἐν τῷ νῦν αἰῶνι ἡ ἐλπὶς
of-all for these thereafter in the present age the hope
παρ᾽ ἐκείνοις ἐσβέσθη. Ποῦ ἐν ἐκείνοις μέριμνα ἐπιγείου
among them was-quenched where among them care of-earthly
τινός; ποῦ κρῖναί τινα ἄνθρωπον; Οὐδαμοῦ. Ταῦτα ἦν
anything where to-judge any man nowhere these(-things) were
παρ᾽ ἐκείνοις διηνεκῶς τὰ λεγόμενα καὶ βοώμενα
among them continually the-things said and cried
πρὸς Κύριον. Οἱ μὲν τὸ στῆθος ἰσχυρῶς κρούοντες,
to (the)-Lord the indeed the breast mightily striking
ὥσπερ ἐν τῇ τοῦ οὐρανοῦ πύλῃ ἱστάμενοι, πρὸς Θεὸν
as at the of-the heaven gate standing to God
ἔλεγον· Ἄνοιξον ἡμῖν, δικαστά, ἄνοιξον ἡμῖν, ἐπειδὴ
said open to-us judge open to-us since
ἁμαρτίαις ἐκλείσαμεν ἑαυτοῖς, ἄνοιξον ἡμῖν. Οἱ δὲ ἔλεγον·
by-sins we-shut on-ourselves open to-us the but said
Ἐπίφανον τὸ πρόσωπόν σου μόνον, καὶ σωθησόμεθα.
show the face your only and we-will-be-saved
Ἄλλος πάλιν· Ἐπίφανον τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου
another again shine to-those in darkness and shadow of-death
καθημένοις ταπεινοῖς. Ἕτερος· Ταχὺ προκαταλαβέτωσαν
sitting lowly another quickly let-overtake
ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἀπολώλαμεν, ὅτι
us the compassions your Lord for we-have-perished for
ἀπεγνώκαμεν, ὅτι ἐξελίπομεν σφόδρα. Οἱ μὲν ἔλεγον· Εἰ
we-have-despaired for we-have-failed exceedingly the indeed said if
ἄρα ἐπιφάνοι Κύριος τοῦ λοιποῦ ἐφ᾽ ἡμᾶς· ἕτεροι δέ·
then would-appear (the)-Lord for-the rest on us others and

Ἆρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ χρέος τὸ ἀνυπόστατον;
has-then passed-through the soul our the debt the unbearable
Ἄλλος· Ἄρα παρακληθήσεται Κύριος τοῦ λοιποῦ ἐφ᾽
another will-then be-comforted (the)-Lord for-the rest over
ἡμᾶς; ἆρα ἀκουσόμεθα αὐτοῦ λέγοντος ἡμῖν τοῖς ἐν
us will-then we-hear him saying to-us those in
δεσμοῖς ἀλύτοις· Ἐξέλθετε· καὶ τοῖς ἐν τῷ ᾅδῃ τῆς
bonds unbreakable come-out and to-those in — Hades of-the
μετανοίας· Συγχωρήθητε; Ἆρα εἰσῆλθεν ἡ κραυγὴ ἡμῶν
repentance be-pardoned has-then entered the cry our
εἰς τὰ ὦτα Κυρίου; Πάντες δὲ ἐκάθηντο ἀεὶ ἐν
into the ears of-(the)-Lord all and sat always before
ὀφθαλμοῖς αὐτῶν ὁρῶντες τὸν θάνατον, καὶ λέγοντες· Ἆρα
eyes their seeing the death and saying then
τί τὸ ἀποβησόμενον· ἆρα τίς ἡ ἀπόφασις; ἆρα τί τὸ
what the thing-to-come then what the sentence then what the
τέλος ἡμῶν; ἆρα ἔστιν ἀνάκλησις; ἆρα ἔστι συγχώρησις
end our is-it is-there recall is-it is-there pardon
τοῖς σκοτεινοῖς, τοῖς ταπεινοῖς, τοῖς καταδίκοις; ἆρα
for-the darkened for-the lowly for-the convicts has-then
ἴσχυσεν ἡμῶν ἡ δέησις εἰσελθεῖν ἐνώπιον Κυρίου; ἢ
been-able our the supplication to-enter before (the)-Lord or
ἀπεστράφη δικαίως τεταπεινωμένη καὶ κατῃσχυμμένη;
has-it-been-turned-back justly humbled and put-to-shame
ἆρα δὲ εἰσελθοῦσα, πόσον ἐξευμενίσατο; πόσον ἤνυσεν;
is-it and having-entered how-much did-it-propitiate how-much did-it-achieve
πόσον ὠφέλησε; πόσον ἐνήργησεν; ἐπειδὴ ἐξ ἀκαθάρτων
how-much did-it-profit how-much did-it-work since from unclean
στομάτων καὶ σωμάτων ἀνεπέμφθη, καὶ οὐ πολλὴν τὴν
mouths and bodies it-was-sent-up and not much the
ἰσχὺν κέκτηται. Ἆρα εἰς τέλος διήλλαξε τὸν κριτήν;
strength it-has has-it-then to (the)-end reconciled the judge

ἆρα μερικῶς; ἆρα κατὰ τὸ ἥμισυ τῶν μωλώπων;
is-it partly is-it according-to the half of-the wounds
μεγάλοι γὰρ οὗτοι ὄντως, καὶ πολλῶν ἱδρώτων καὶ
great for these truly and of-many sweats and
μόχθων δεόμενοι. Ἆρα ἐπλησίασαν ἡμῖν οἱ ἡμῶν φύλακες,
labors needing have-then drawn-near to-us the our guardians
ἢ ἔτι πόῤῥω ἀφ' ἡμῶν ὑπάρχουσιν; Ἐκείνων γὰρ μὴ
or still far from us are-they those for not
ἐγγιζόντων πρὸς ἡμᾶς, πᾶς ὁ κόπος ἡμῶν ἀνωφελὴς καὶ
drawing-near to us all the toil our unprofitable and
ἀνόνητος· οὐ γὰρ ἔχει δύναμιν παῤῥησίας ἡ προσευχὴ
useless not for it-has power of-boldness the prayer
ἡμῶν, οὐδὲ πτερὸν καθαρότητος εἰσελθεῖν πρὸς Κύριον,
our nor wing of-purity to-enter to (the)-Lord
εἰ μή τί γε οἱ ἄγγελοι ἡμῶν προσεγγίσαντες ἡμῖν,
if not something at-least the angels our having-drawn-near to-us
ταύτην λαβόντες Κυρίῳ προσενέγκωσιν. Οἷα δὲ
it having-taken to-(the)-Lord bring such-things and
πολλάκις καὶ πρὸς ἀλλήλους διηπόρουν, καὶ ἔλεγον· Ἆρα,
often also to one-another they-debated and said then
ἀδελφοί, ἀνύομεν; ἆρα τυγχάνομεν τῆς αἰτήσεως; ἆρα
brothers do-we-achieve is-it do-we-obtain of-the request is-it
δέχεται πάλιν; ἆρα ἀνοίγει; Οἱ δὲ ἕτεροι πρὸς ταῦτα
does-he-receive again is-it does-he-open the but others to these(-things)
ἀπεκρίναντο· Τίς οἶδεν, ὡς εἶπον οἱ ἀδελφοὶ ἡμῶν οἱ
answered who knows as said the brothers our the
Νινευῖται· Μή πως μεταμεληθήσεται Κύριος; Καὶ κἂν
Ninevites perhaps somehow will-repent (the)-Lord and even-if
τῆς πολλῆς κολάσεως λυτρώσηται ἡμᾶς, ὅμως ἡμᾶς
from-the great punishment he-redeems us nevertheless we
τὸ ἐφ' ἡμῖν ποιήσωμεν. Καὶ ἐὰν ἀνοίξῃ, εὖ καὶ καλῶς·
the in us let-us-do and if he-opens well and good

ἐπεὶ εὐλογητὸς Κύριος ὁ Θεός, ὁ ἀποκλείσας ἡμῖν
otherwise blessed (the)-Lord — God the(-one) having-shut to-us
δικαίως. Πλὴν ἐπιμείνωμεν κρούοντες, ἕως τέλους τῆς
justly however let-us-persevere knocking until (the)-end of-the
ζωῆς ἡμῶν· ἴσως τῇ πολλῇ ἡμῶν ἀναιδείᾳ ἀνοίξει
life our perhaps with-the great our shamelessness he-will-open
ἡμῖν. Διὸ καὶ ἑαυτοὺς διεγείροντες, ἔλεγον· Δράμωμεν,
to-us therefore also themselves rousing they-said let-us-run
ἀδελφοί, δράμωμεν· δρόμου γὰρ χρεία καὶ δρόμου, ἐπειδὴ
brothers let-us-run of-running for need and of-running since
τῆς καλῆς ἡμῶν συνοδίας ἀπελείφθημεν· δράμωμεν μὴ
from-the good our company we-were-left-behind let-us-run not
φειδόμενοι ταύτης τῆς ῥυπαρᾶς καὶ μοχθηρᾶς σαρκὸς
sparing this the filthy and wretched flesh
ἡμῶν· ἀλλ᾽ ἀποκτείνωμεν αὐτήν, ὡς ἀπέκτεινεν ἡμᾶς,
our but let-us-kill it as it-killed us
ὥσπερ καὶ ἐποίουν οἱ μακάριοι ὑπεύθυνοι. Ἐν ἐκείνοις
as also did the blessed guilty(-ones) among them
ἑωρᾶτο γόνατα ἐπεσκληκότα τῷ πλήθει τῶν μετανοιῶν· οἱ
were-seen knees hardened by-the multitude of-the penitences the
ὀφθαλμοὶ ἐκτακέντες καὶ ἔσω που εἰς βάθος δεδυκότες·
eyes melted and within somewhere into depth sunk
τριχῶν ἀπεστερημένοι, παρειὰς κεκτημένοι πεπληγμένας,
of-lashes deprived cheeks having struck
καὶ περιπεφλεγμένας τῇ ζέσει τῶν πολλῶν δακρύων·
and scorched by-the heat of-the many tears
πρόσωπα καταμεμαρασμένα καὶ ὠχρά, μηδὲν ἐν συγκρίσει
faces withered and pale nothing in comparison
νεκρῶν διαφέροντα· στήθη ταῖς πληγαῖς ἀλγοῦντα
from-corpses differing breasts from-the blows aching
καὶ αἱμάτων πτύελοι ἐκ τῶν ἐν τῷ στήθει πυγμῶν
and of-blood spittings from the in the breast punches

ἐκπεμπόμενοι. Ποῦ ἦν ἐκεῖ στρωμνῆς κατάστασις; ποῦ
sent-out where was there of-bedding arrangement where
ἐνδύματος καθαρότης ἢ στερεότης; Ἀλλὰ διερρηγμένα καὶ
of-clothing cleanness or firmness but torn and
ῥυπῶντα, καὶ ὑπὸ τοῦ φθειρὸς ἐπικεκαλυμμένα. Τί πρὸς
filthy and by the lice covered what compared-to
ἐκείνους ἡ τῶν δαιμονώντων κακοπάθεια; τί ἡ τῶν
them the of-the demoniacs suffering what the of-those
νεκροὺς πενθούντων; τί ἡ τῶν ἐν ἐξορίᾳ διαγόντων; τί
the-dead mourning what the of-those in exile living what
ἡ τῶν ἐπὶ φόνοις καταδίκων; Οὐδὲν ὄντως ἡ ἐκείνων
the of-those for murders condemned nothing truly the of-those
βάσανος, καὶ τιμωρία ἀκούσιος, πρὸς τὴν τούτων
torment and punishment unwilling compared-to the of-these
ἑκούσιον. Καὶ μὴ μύθους τὰ εἰρημένα λογίσησθε, ἐρωτῶ,
willing and not fables the-things said reckon I-ask
ἀδελφοί. Ἐδυσώπουν πολλάκις τὸν κριτὴν τὸν μέγαν
brothers they-besought often the judge the great
ἐκεῖνον, τὸν ποιμένα λέγω, τὸν ἄγγελον ἐν ἀνθρώποις·
that the shepherd I-mean the angel among men
καὶ παρεκάλουν σίδηρα καὶ κλοιὰ ἐν χερσὶ καὶ τραχήλῳ
and begged irons and fetters on hands and neck
περιθέσθαι· καὶ τοὺς πόδας ἐν τῷ τῶν πασχόντων
to-put-on and the feet in the of-the sufferers
κατασφαλισθῆναι ξύλῳ, καὶ μὴ πρότερον ἐκεῖθεν λυθῆναι,
to-be-secured stocks and not before from-there to-be-loosed
ἄχρι λοιπὸν τὸ μνῆμα διαδέξεται, πλὴν οὐδὲ τὸ μνῆμα.
until thereafter the tomb receives but not-even the tomb
Οὐ μὴ γάρ, οὐ μὴ κρύψω οὐδὲ ταύτην αὐτῶν τῶν
not — for not — I-will-hide not-even this of-them of-the
μακαρίων ὄντως ἠλεημένην ταπείνωσιν, καὶ συντετριμμένην
blessed truly pitied humility and crushed

πρὸς Θεὸν ἀγάπην καὶ μετάνοιαν. Μέλλοντες τοίνυν
toward God love and repentance being-about therefore
πρὸς Κύριον πορεύεσθαι, καὶ τῷ ἀδεκάστῳ βήματι
to (the)-Lord to-go and before-the incorruptible judgment-seat
παρίστασθαι, καλοὶ ἐκεῖνοι τῆς χώρας τῆς μετανοίας
to-stand good those of-the land of-the repentance
πολῖται, ὁπηνίκα τις αὐτῶν ἐν τῷ παντὶ ἐθεώρει
citizens whenever anyone of-them in the all beheld
ἑαυτόν, τοῦτο διὰ τοῦ προεστῶτος αὐτῶν ἐδυσώπει
himself this through the superior their besought
μεθ' ὅρκων τὸν μέγαν, τοῦ μὴ καταξιωθῆναι αὐτὸν
with oaths the great(-one) of-the not to-be-deemed-worthy him
ἀνθρωπίνης ταφῆς, ἀλλὰ ἀλόγου, ἢ ἐν τῷ ῥείθρῳ
of-human burial but of-an-irrational(-beast) or in the stream
τοῦ ποταμοῦ, ἢ ἐν τῷ ἀγρῷ τοῖς θηρίοις παραδοθῆναι·
of-the river or in the field to-the beasts to-be-delivered
ὅπερ πολλάκις καὶ ὑπήκουσεν ὁ τῆς διακρίσεως λύχνος,
which often also obeyed the of-the discernment lamp
ψαλμῳδίας τε πάσης καὶ τιμῆς ἐστερημένους ἐξοδιάζεσθαι
of-psalmody both all and honor deprived to-be-carried-out
κελεύων. Οἷον δὲ καὶ τὸ θέαμα φοβερὸν καὶ ἐλεεινὸν
ordering such and also the sight fearful and pitiable
τῆς ἐκείνων ἐσχάτης ὥρας· ὁπόταν γὰρ οἱ συγκατάδικοι
of-the their last hour when for the fellow-convicts
τὸν προπορευόμενον τελειοῦσθαι μέλλοντα ᾔσθοντο,
the(-one) going-before to-be-perfected about perceived
ἔτι τοῦ νοὸς ἐῤῥωμένου περιεκύκλουν καὶ διψῶντες, καὶ
still the mind being-strong they-surrounded and thirsting and
πενθοῦντες ἐλεεινοτάτῳ ἤθει καὶ σκυθρωπῷ λόγῳ τὴν
mourning with-most-pitiable manner and sad word the
κεφαλὴν σείοντες τὴν ἑαυτῶν, ἠρώτων τὸν ἐκλείποντα·
head shaking the their-own asked the(-one) departing

καὶ καιόμενοι τῇ συμπαθείᾳ τῇ πρὸς αὐτὸν ἔλεγον·
and burning with-the sympathy the toward him said
Τί ἐστιν, ἀδελφὲ καὶ συγκατάδικε, πῶς; τί λέγεις; τί
what is-it brother and fellow-convict how what do-you-say what
ἐλπίζεις; τί ὑπολαμβάνεις; Ἤνυσας ἐκ τοῦ κόπου
do-you-hope what do-you-suppose have-you-achieved from the toil
τὸ ζητούμενον, ἢ οὐκ ἴσχυσας; Ἤνοιξας, ἢ ὑπεύθυνος
the thing-sought or not were-you-able did-you-open or guilty
ἔτι ὑπάρχεις; ἔφθασας, ἢ οὐκ ἐπέτυχες; Ἔλαβές τινα
still are-you did-you-arrive or not did-you-attain did-you-receive any
πληροφορίαν, ἢ ἄδηλον ἔχεις τὴν ἐλπίδα; Εἴληφας
assurance or uncertain do-you-have the hope have-you-received
ἐλευθερίαν, ἢ κλονεῖται καὶ ἀμφιβάλλει ἔτι ὁ λογισμός;
freedom or is-shaken and doubts still the thought
Ἤσθου τινὸς ἐν τῇ καρδίᾳ φωτισμοῦ, ἢ ἐσκοτισμένη
did-you-perceive any in the heart illumination or darkened
ἔτι καὶ ἠτιμωμένη ὑπάρχει; Ἐγένετό τις ἐν σοὶ φωνὴ
still and dishonored is-it came any in you voice
λέγουσα ἔνδον· Ἴδε ὑγιὴς γέγονας· ἤ, Ἀφέωνταί σου αἱ
saying within behold healthy you-have-become or are-forgiven your the
ἁμαρτίαι· ἤ, Ἡ πίστις σου σέσωκέ σε; ἢ ἆρα ἔτι ἐκείνης
sins or the faith your has-saved you or is-it still that
ἀκούεις τῆς λεγούσης· Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς
do-you-hear the saying let-be-turned-back the sinners into
τὸν ᾅδην· καί· Δήσατε χεῖρας καὶ πόδας· καί· Ἀρθήτω
— Hades and bind hands and feet and let-be-taken-away
ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου; Τί λέγεις
the impious that not he-may-see the glory of-(the)-Lord what do-you-say
ἁπλῶς, ἀδελφέ; εἰπὲ ἡμῖν, δυσωποῦμεν, ἵνα καὶ ἡμεῖς
simply brother tell us we-beseech that also we
γνῶμεν, ἐν ποίοις μέλλομεν ἔσεσθαι· σοῦ γὰρ λοιπὸν
may-know in what-state we-are-going to-be of-you for thereafter

ὁ καιρὸς ἐκλείσθη, καὶ ἄλλον οὐχ εὑρήσεις ἔτι εἰς
the time was-shut and another not you-will-find still for
τὸν αἰῶνα. Πρὸς ταῦτα, οἱ μὲν τῶν κοιμωμένων,
the age to these(-things) the indeed of-those falling-asleep
Εὐλογητὸς Κύριος, ἀπεκρίνοντο, ὃς οὐκ ἀπέστησε τὴν
blessed (the)-Lord answered who not removed the
προσευχήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ᾽ ἐμοῦ. Οἱ δὲ
prayer my and the mercy his from me the and
πάλιν· Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν
again blessed (the)-Lord who not gave us for prey
τοῖς ὀδοῦσιν αὐτῶν. Οἱ δὲ ἐκεῖνο ἐνωδύνως ἔλεγον· Ἆρα
to-the teeth their the and that painfully said then
διέλθῃ ἡ ψυχὴ ὑμῶν τὸ ὕδωρ τῶν πνευμάτων τοῦ
would-pass-through the soul your the water of-the spirits of-the
ἀέρος τὸν ἀνυπόστατον; Μὴ θαῤῥοῦντες ἀκμήν, ἀλλὰ
air the unbearable not being-confident yet but
ἀποσκοποῦντες τί ἐν τῷ λογοθεσίῳ ἐκείνῳ γίνεται.
looking-out-for what at the accounting that happens
Ἕτεροι δὲ τούτου ἐνωδυνηρότερον ἄλλο ἀπεκρίναντο,
others and than-this more-painfully another-thing answered
καὶ ἔλεγον· Οὐαὶ ψυχῇ, τῇ μὴ φυλαξάσῃ τὸ ἐπάγγελμα
and said woe to-(the)-soul the not having-kept the profession
ἄμωμον, ἐν τῇ ὥρᾳ ταύτῃ καὶ μόνῃ γνώσεται τί αὐτῇ
blameless in the hour this and only it-will-know what for-it
ἡτοίμασται· ἐγὼ δὲ ταῦτα ἑωρακώς τε παρ᾽ ἐκείνοις καὶ
has-been-prepared I and these(-things) having-seen both among them and
ἀκηκοώς, μικροῦ δεῖν ἑαυτοῦ ἀπογινώσκειν ἔμελλον, ὁρῶν
having-heard by-a-little to-lack myself to-despair-of was-going seeing
τὴν ἑαυτοῦ ἀδιαφορίαν, καὶ συγκρίνων ταύτην πρὸς τὴν
the own indifference and comparing it to the
ἐκείνων κακοπάθειαν. Οἷα γὰρ ἦν καὶ αὐτὴ ἡ τοῦ τόπου
their suffering such for was also itself the of-the place

κατάστασις καὶ κατοίκησις; Ὅλη σκοτεινή, ὅλη δυσώδης,
state and dwelling wholly dark wholly foul-smelling
ὅλη ῥυπῶσα καὶ αὐχμηρά. Φυλακὴ γὰρ καὶ καταδίκη
wholly filthy and squalid prison for and condemnation
εὐλόγως προσωνόμασται· ὡς καὶ αὐτὴν τὴν τοῦ χώρου
reasonably it-is-named so-that also the-very the of-the place
θέαν μετανοίας πάσης καὶ πένθους ὑπάρχειν διδάσκαλον.
sight of-repentance all and mourning to-be teacher
Ἀλλὰ τὰ ἑτέροις δυσχερῆ καὶ ἀκατάδεκτα, τοῖς ἐξ
but the-things to-others hard and unacceptable to-those from
ἀρετῆς καὶ πνευματικοῦ πλούτου ἐκπεπτωκόσι προσηνῆ καὶ
virtue and spiritual wealth having-fallen-away kindly and
εὐπαράδεκτα τυγχάνουσι. Ψυχὴ γὰρ παῤῥησίας προτέρας
welcome are a-soul for of-boldness former
ἐστερημένη, καὶ ἐλπίδος ἀπαθείας ἐκπεσοῦσα, καὶ σφραγῖδα
deprived and from-hope of-dispassion having-fallen-away and seal
ἁγνείας διανοίξασα, καὶ πλούτου χαρισμάτων συληθεῖσα,
of-purity having-broken-open and of-(the)-wealth of-gifts robbed
θείας τε παρακλήσεως ἀλλοτριωθεῖσα, καὶ συνταγὴν
from-divine and consolation estranged and covenant
Κυρίου ἀθετήσασα, πυρὸς καλοῦ δακρύων ψυχικῶν
of-(the)-Lord having-set-aside of-(the)-fire good of-tears of-(the)-soul
ἀποσβεσθεῖσα, καὶ τῇ τούτου μνήμῃ πληττομένη, καὶ
quenched and by-the of-it memory struck and
ἐνωδύνως νυσσομένη, οὐ μόνον τοὺς προειρημένους πόνους
painfully pierced not only the aforesaid toils
μετὰ πάσης καταδέξεται προθυμίας, ἀλλὰ καὶ ἑαυτὴν
with all will-accept eagerness but also itself
ἀναιρεῖν εὐσεβῶς δι᾽ ἀσκήσεως ἐπιτηδεύει· εἰ ἆρα καὶ
to-destroy piously through discipline practices if is-it also
ἔστιν ἐν αὐτῇ ἐγκατάλειμμα σπινθῆρος ἀγάπης, ἢ φόβου
there-is in it a-remnant of-a-spark of-love or of-fear

Κυρίου. Οἷοι ὄντως ὑπῆρχον οἱ μακάριοι οὗτοι· ταῦτα
of-(the)-Lord such truly were the blessed these these(-things)
γὰρ ἐν νῷ ἔχοντες, καὶ ὕψος οὗ ἐκπεπτώκασιν εἰς
for in mind having and (the)-height from-which they-have-fallen into
νοῦν λαμβάνοντες, ἔλεγον· Ἐμνήσθημεν ἡμερῶν ἀρχαίων,
mind taking said we-remembered days of-old
τοῦ πυρὸς ἐκείνου τῆς ἡμετέρας σπουδῆς. Ἄλλοι πρὸς
of-the fire that of-the our zeal others to
τὸν Θεὸν ἐβόων· Ποῦ εἰσὶ τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε,
— God cried where are the mercies your the old Lord
ἃ ἔδειξας τῇ ψυχῇ ἡμῶν ἐν τῇ ἀληθείᾳ σου; Μνήσθητι
which you-showed to-the soul our in the truth your remember
τοῦ ὀνειδισμοῦ καὶ τῶν μόχθων τῶν δούλων σου· ἕτερος·
the reproach and the labors of-the servants your another
Τίς ἄν με θείη κατὰ μῆνας ἡμερῶν τῶν ἔμπροσθεν,
who — me would-put according-to months of-days the before
ὧν με ἐφύλαττεν ὁ Θεός, ὅτε ηὔγει ὁ λύχνος τοῦ
in-which me kept — God when shone the lamp of-the
φωτὸς αὐτοῦ ὑπὲρ κεφαλῆς τῆς καρδίας μου; πῶς τε τῶν
light his above head of-the heart my how both the
προτέρων αὐτῶν ἐμνημόνευον κατορθωμάτων, καὶ ταῦτα
former their they-remembered achievements and these(-things)
δίκην νηπίων τεθνηκότων ἀπωδύροντο, καὶ ἔλεγον· Ποῦ
like infants dead lamented and said where
ἡ τῆς προσευχῆς καθαρότης; ποῦ ἡ ταύτης παῤῥησία;
the of-the prayer purity where the of-it boldness
ποῦ τὸ γλυκὺ ἀντὶ πικροῦ δάκρυον; ποῦ ἐλπὶς τῆς
where the sweet instead-of bitter tear where hope of-the
παντελοῦς ἁγνείας καὶ καθάρσεως; ποῦ ἡ προσδοκία τῆς
complete purity and cleansing where the expectation of-the
μακαρίας ἀπαθείας; ποῦ ἡ πρὸς τὸν ποιμένα πίστις;
blessed dispassion where the toward the shepherd faith

ποῦ ἡ τῆς αὐτοῦ προσευχῆς ἐν ἡμῖν εὐεργεσία; Ἀπόλωλε
where the of-the his prayer in us benefaction has-perished
ταῦτα πάντα· καὶ ὥσπερ μὴ φανέντα, ἐκλέλοιπεν· καὶ
these(-things) all and as not having-appeared has-failed and
ὡς μὴ ὑπάρξαντα, ἠφανίσθησαν καὶ ᾤχετο. Ταῦτα μὲν
as not having-been vanished and is-gone these(-things) indeed
λέγοντες καὶ θρηνοῦντες, οἱ μέν, δαιμονᾶν ηὔχοντο·
saying and lamenting the(-ones) indeed to-be-possessed prayed
οἱ δὲ τῇ ἱερᾷ περιπεσεῖν νόσῳ, ἐδυσώπουν τὸν Κύριον·
the and into-the holy to-fall disease besought the Lord
οἱ μὲν τὰς ὄψεις ἀποβάλλειν, καὶ ἐλεεινὸν προκεῖσθαι
the indeed the eyes to-lose and pitiable to-lie-before
θέαμα· οἱ δὲ πάρετοι γενέσθαι, καὶ μόνον τῶν ἐκεῖ
sight the and paralyzed to-become and only the there
μοχθηρῶν μὴ πειρασθῆναι. Ἐγὼ δέ, ὦ φίλοι, λέληθα
wretched-things not to-be-tried I but O friends forgot
ἐμαυτὸν ἐν τῷ ἐκείνῳ ἐμφιλοχωρῶν πένθει, καὶ ὅλος τῷ
myself in the that lingering mourning and wholly in-the
νοῒ συνηρπάγην, κατέχειν ἐμαυτὸν μὴ δυνάμενος. Ἀλλ'
mind was-carried-away to-restrain myself not able but
ἐπανακτέον τὸν λόγον. Τοίνυν προσμείνας ἐν τῇ φρουρᾷ
one-must-bring-back the discourse therefore having-remained in the prison
ἐπὶ ἡμέρας τριάκοντα, ἐπανέρχομαι ὁ ἀνυπομόνητος εἰς
for days thirty I-return the impatient to
τὸ μέγα κοινόβιον πρὸς τὸν μέγαν. Ὁ δὲ θεασάμενός
the great community to the great(-one) he but having-beheld
με, ὥσπερ ἠλλοιωμένον ὅλον καὶ ἐξεστηκότα, ἔγνω ὁ
me as changed wholly and beside-myself knew the
πάνσοφος ἀλλοιώσεως τὸν τρόπον· καί φησι· Τί ἐστι,
all-wise(-one) of-the-change the manner and says what is-it
Πάτερ Ἰωάννη; Ἑώρακας τοὺς τῶν καμνόντων ἄθλους;
Father John have-you-seen the of-the laboring contests

Ἐγὼ δὲ ἔφην· Καὶ ἑώρακα, Πάτερ, καὶ τεθαύμακα, καὶ
I but said both I-have-seen Father and have-marveled and
μεμακάρικα ἔγωγε τοὺς πεπτωκότας, καὶ πενθοῦντας,
have-called-blessed I the fallen and mourning
ὑπὲρ τοὺς μὴ πεπτωκότας, καὶ ἑαυτοὺς μὴ πενθοῦντας·
above those not fallen and themselves not mourning
ὅτι διὰ πτώσεως ἀνέστησαν ἀνάστασιν ἀκίνδυνον. Ὁ
that through a-fall they-rose a-rising without-danger he
δέ, Οὕτως ἔχει, φησί· καὶ διηγήσατο ἡ ἀψευδὴς αὐτοῦ
but thus it-is he-says and narrated the unlying his
γλῶττα· Ὅτιπερ, φησί, πρὸ δέκα χρόνων, εἶχον ὧδε
tongue that he-says before ten years I-had here
ἀδελφὸν πάνυ σπουδαῖον καὶ ἐργάτην, καὶ τοιοῦτον ὥστε
a-brother very zealous and a-worker and such so-that
με ὁρῶντα αὐτόν, οὕτως τῷ πνεύματι ζέοντα, τρέμειν
me seeing him thus in-the spirit boiling to-tremble
ὑπὲρ αὐτοῦ τὸν τοῦ διαβόλου φθόνον, μή πως τῷ
for him the of-the devil envy lest somehow in-the
πολλῷ δρόμῳ προσκόψῃ πρὸς λίθον τὸν πόδα· ὅπερ τοῖς
much running he-strike against a-stone the foot which to-those
ὀξέως βαδίζουσι συμβαίνειν πέφυκεν· ὅπερ καὶ γέγονεν.
swiftly walking to-happen is-wont which also happened
Εἶτα ἀνέρχεται πρός με, ἑσπέρας βαθείας, δείκνυσι
then he-comes-up to me in-the-evening late shows
τὸ τραῦμα γυμνόν· ζητεῖ ἔμπλαστρον, αἰτεῖται καυτῆρα,
the wound naked seeks a-plaster asks cautery
θορυβεῖται σφοδρῶς. Εἶτα ἐπεὶ ἄξιος συμπαθείας ἦν,
is-troubled vehemently then since worthy of-sympathy he-was
ὁρᾷ μὴ πάνυ αὐτῷ αὐστηρᾷ τομῇ τὸν ἰατρὸν χρήσασθαι
he-sees not very on-him severe cutting the physician to-use
βουλόμενον, ῥίπτων ἑαυτὸν εἰς τὸ ἔδαφος, ἐπιλαμβάνεται

τῶν ποδῶν, λούει ἱκανῶς τούτοις τοῖς δάκρυσιν· αἰτεῖται
the feet washes sufficiently with-these the tears asks
καταδίκην ἐν ᾗ ἑώρακας φρουρᾷ· ἀδύνατον ἐβόα μὴ
sentence in which you-have-seen prison impossible he-cried not
ἐκεῖ με πορευθῆναι. Εἶτα βιάζεται εὐσπλαγχνίαν ἰατροῦ
there me to-go then he-forces (the)-compassion of-(the)-physician
μετενεγκεῖν εἰς ἀποτομίαν, τὸ σπάνιον ἐν νοσοῦσι καὶ
to-change into severity the-thing rare among the-sick and
παραδοξότατον· καταλαμβάνει θᾶττον τοὺς μετανοοῦντας,
most-marvelous he-reaches quickly the repenting
γίνεται κοινωνὸς καὶ συναλγός. Πληγεὶς οὖν τὴν καρδίαν
becomes partner and fellow-sufferer struck then the heart
ὡς ὑπὸ ξίφους τῆς δι' ἀγάπην Θεοῦ λύπης, τῇ
as by a-sword of-the because-of love of-God grief on-the
ὀγδόῃ ἡμέρᾳ ἐκδημεῖ πρὸς Κύριον, αἰτησάμενος ταφῆς μὴ
eighth day he-departs to (the)-Lord having-asked burial not
τυχεῖν. Ἐγὼ δὲ αὐτὸν καὶ ἐνταῦθα ἐνήνοχα, καὶ τοῖς
to-obtain I but him also here brought and with-the
πατράσι συντέταφα ὡς ἄξιον· διὸ καὶ μετὰ τὴν ἑβδόμην
fathers buried as worthy therefore also after the seventh
δουλικήν, τῇ ὀγδόῃ λύεται ἐλεύθερος ἡμέρᾳ. Ἔστι δέ
slavish on-the eighth is-released free day there-is but
τις ἐκεῖνο γνοὺς ἐναργῶς, μὴ πρότερον αὐτὸν τῶν
someone that having-known clearly not before he from-the
εὐτελῶν καὶ ῥυπαρῶν μου ποδῶν ἀναστῆναι, πρὶν Θεὸν
poor and filthy my feet to-rise than God
ἐξευμενίσασθαι· καὶ οὐ θαῦμα· πίστιν γὰρ ἐν καρδίᾳ τῆς
to-propitiate and not a-wonder faith for in heart of-the
πόρνης ἐκείνης ἀναλαβών, τοιαύτῃ καὶ αὐτὸς πληροφορίᾳ
harlot that having-taken-up with-such also he-himself assurance
τοὺς ἐμοὺς ταπεινοὺς πόδας κατέβρεξε· Πάντα δὲ δυνατὰ
the my lowly feet wetted all-things and possible

τῷ πιστεύοντι, ὁ Κύριος εἴρηκεν. Εἶδον ἀκαθάρτους
to-the(-one) believing the Lord has-said I-saw unclean
ψυχὰς περὶ ἔρωτας σωμάτων ἐμμανῶς μαινομένας·
souls about loves of-bodies madly raging
καὶ δὴ σκῆψιν μετανοίας προσλαβοῦσαι, ἐκ πείρας
and indeed occasion of-repentance having-taken from experience
ἔρωτος, τὸν αὐτὸν πρὸς Κύριον μετενηνόχασιν ἔρωτα· καὶ
of-love the same to (the)-Lord transferred love and
πάντα φόβον ὑπερπηδήσασαι, ἀπλήστως εἰς ἀγάπην Θεοῦ
all fear having-overleapt insatiably into love of-God
ἐνεγκεντρίσθησαν. Διὰ τοῦτο καὶ ὁ Κύριος τῇ σώφρονι
were-grafted because-of this also the Lord to-the temperate
ἐκείνῃ πόρνῃ οὐ λέγει, ὅτι ἐφοβήθη, ἀλλ' Ὅτι ἠγάπησε
that harlot not says that she-feared but that she-loved
πολύ, καὶ ἐδυνήθη εὐχερῶς ἔρωτι ἔρωτα διακρούσασθαι.
much and she-was-able easily by-love love to-drive-out
Οὐκ ἀγνοῶ δὲ ἐγώ, ὦ θαυμάσιοι, ὅτι τοῖσιν μὲν ἄπιστα,
not am-ignorant and I O wonderful(-ones) that to-some indeed incredible
ἑτέροις δὲ ἀνέλπιστα· ἄλλοις δὲ ἀπόγνωσιν τίκτοντα
to-others and hopeless to-others and despair begetting
φαίνονται, ἅπερ διηγησάμην, ἔπαθλα. Ἀνὴρ δὲ ἀνδρεῖος ἐκ
appear which I-narrated prizes a-man but brave from
τούτων προσελάβετο κέντρον, καὶ βέλος πυρός, καὶ ζῆλον
these took-on a-goad and an-arrow of-fire and zeal
ἐν καρδίᾳ ἀπῆλθε βαστάζων. Ὁ τούτου ὑποβεβηκώς,
in heart went-away carrying the(-one) than-this lower
ἐπέγνω τὴν οἰκείαν ἀσθένειαν, καὶ ταπεινοφροσύνην
recognized the own weakness and humility
εὐχερῶς κτησάμενος διὰ τῆς ἑαυτοῦ μέμψεως τὸν
easily having-acquired through the own self-blame the
πρῶτον κατέδραμεν, ἀγνοῶ δὲ εἰ καὶ κατέλαβεν. Ἀνὴρ
first outran I-do-not-know but if also he-overtook a-man

δὲ ἀμελὴς μὴ προσψαύσῃ τοῖς εἰρημένοις, μή πως
but careless not let-him-touch the-things said lest somehow
καὶ αὐτὸ ὃ ἐργάζεται, ἀπογνοὺς σκορπίσειε· καὶ
also the-very-thing which he-works having-despaired he-scatter and
γένηται καὶ ἐπ᾽ αὐτῷ τὸ φάσκον λόγιον· ἀπὸ δὲ τοῦ
become also in him the saying oracle from and the(-one)
μὴ ἔχοντος προθυμίαν, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται
not having eagerness even what he-seems to-have will-be-taken
ἀπ᾽ αὐτοῦ· οὐκ ἔστιν ἡμᾶς ἐν τῷ λάκκῳ τῶν ἀνομιῶν
from him not it-is-possible us in the pit of-the lawlessnesses
πεπτωκότας, καὶ μὴ εἰς τὴν ἄβυσσον τῆς ταπεινώσεως
having-fallen and not into the abyss of-the humility
τῶν μετανοούντων καταδύσαντας, ἐκεῖθεν ἑλκυσθῆναι· ἄλλη
of-the repenting having-sunk from-there to-be-drawn-out other
ἡ τῶν μετανοούντων σκυθρωπὴ ταπείνωσις, καὶ ἑτέρα
the of-the repenting sad humility and other
τῶν ἔτι ἁμαρτανόντων τοῦ συνειδότος κατάγνωσις· καὶ
of-those still sinning of-the conscience condemnation and
ἄλλη ἡ τοῖς τελείοις δι᾽ ἐνεργείας Θεοῦ προσγινομένη
other the to-the perfect through working of-God coming
μακαρία πλουτοταπείνωσις· μὴ σκευάσωμεν τὴν τρίτην
blessed rich-humility not let-us-contrive the third
λόγοις εὑρεῖν, μάτην γὰρ δραμούμεθα· τῆς δὲ δευτέρας
in-words to-find in-vain for we-will-run of-the and second
σημεῖον, ὑπομονὴ ἀτιμίας παντελής· τυραννεῖ ἡ πρόληψις,
the-sign endurance of-dishonor complete tyrannizes the prejudice
καὶ τὸν πενθοῦντα πολλάκις. Καὶ οὐ θαῦμα, ὁ περὶ
even the mourner often and not a-wonder the about
κριμάτων, καὶ πτωμάτων λόγος σκοτεινός, καὶ πάντη
judgments and falls discourse dark and wholly
ψυχῇ ἀκατάληπτος· ποῖα μὲν τὰ δι᾽ ἀμελείας, ποῖα
to-soul incomprehensible which indeed the-ones through negligence which

δὲ δι᾽ ἐγκατάλειψιν οἰκονομικήν· ποῖα δὲ δι᾽
and because-of abandonment providential which and because-of
ἀποστροφὴν Θεοῦ συμβαίνοντα ἡμῖν πτώματα. Πλὴν
turning-away of-God happening to-us falls however
ἐκεῖνό μοί τις διηγήσατο, ὅτιπερ τὰ κατ᾽ οἰκονομίαν
that to-me someone narrated that the-things by dispensation
ἡμῖν συμβαίνοντα, ταχεῖαν τὴν ἐξ αὐτῶν ἀποστροφὴν
to-us happening quick the from them turning
κέκτηνται· οὐ γὰρ συγχωρεῖ ὁ παραδούς, ἐπεὶ πολὺ
have not for allows the(-one) having-delivered-up since much
κρατεῖσθαι ἡμᾶς τὸ τῆς λύπης δαίμονι. Οἳ πεσόντες
to-be-held us by-the of-the grief demon we-who having-fallen
πρὸ πάντων μαχησώμεθα πρὸς αὐτόν· αὐτὸς γὰρ παρὰ
before all-things let-us-fight against him he for at
τὸν καιρὸν τῆς προσευχῆς ἡμῶν παριστάμενος, καὶ τῆς
the time of-the prayer our standing-by and of-the
προτέρας ἡμῶν παῤῥησίας ὑπομιμνήσκων καταργῆσαι
former our boldness reminding to-make-idle
ἡμᾶς τῆς εὐχῆς βούλεται. Μὴ θαμβηθῇς καθ᾽ ἡμέραν
us from-the prayer wishes not be-amazed each day
πίπτων, μηδὲ ἀποπήδα, ἀλλὰ στῆθι ἀνδρείως, καὶ πάντως
falling nor leap-away but stand bravely and surely
αἰδεσθήσεταί σου τὴν ὑπομονὴν ὁ φυλάσσων σε ἄγγελος.
will-respect your the endurance the guarding you angel
Ὡς νεαρὸν καὶ ζέον τὸ τραῦμα εὐίατον εἶναι πέφυκε·
as fresh and hot the wound easily-healed to-be is-wont
τὰ γὰρ χρόνια καὶ ἠμελημένα καὶ κεχερσωμένα δυσίατα,
the for chronic and neglected and gone-to-waste hard-to-heal
καὶ πολλοῦ τοῦ κόπου, καὶ σιδήρου καὶ ξηρίου, καὶ τοῦ
and of-much the toil and iron and powder and the
πυρὸς ἐνταῦθα πρὸς ἰατρείαν δεόμενα. Πολλὰ τῷ χρόνῳ
fire here for healing needing many-things by-the time

ἀνίατα, παρὰ δὲ Θεῷ πάντα δυνατά. Πρὸ μὲν τοῦ
incurable with but God all-things possible before indeed the
πτώματος, φιλάνθρωπον· μετὰ δὲ τὸ πτῶμα ἀπότομον
fall loving-to-man after but the fall severe
τὸν Θεὸν λέγουσιν οἱ δαίμονες· μὴ πείθου τῷ λέγοντι
— God say the demons not obey the(-one) saying
μετὰ τὸ πτῶμα ἐπὶ τοῖς μικροῖς ἐλαττώμασιν, εἴθε
after the fall for the small defects if-only
τόδε μὴ ἐποίησας· τοῦτο γὰρ οὐδέν ἐστι. Πολλάκις γὰρ
this not you-had-done this for nothing is often for
μικρὰ δῶρα πολὺν θυμὸν κριτοῦ κατέπαυσαν. Ὁ
small gifts great anger of-a-judge stopped the(-one)
ἐν ἀληθείᾳ εὐθύνας διδούς, πᾶσαν ἡμέραν ἐν ᾗ οὐ
in truth account giving every day in which not
πενθεῖ, ὡς ἀπολέσας ταύτην λογίζεται. Κἂν ὁποῖα ἀγαθὰ
he-mourns as having-lost it reckons even-if what-sort good-things
πεποίηκεν ἐν αὐτῇ· μηδεὶς τῶν θρηνούντων ἐν ἐξόδῳ
he-has-done in it no-one of-those lamenting at departure
τὴν πληροφορίαν ἐκδέξηται. Τὸ γὰρ ἄδηλον οὐ βέβαιον.
the assurance let-him-expect the for uncertain not secure
Ἄνες μοι διὰ πληροφορίας, ἵνα ἀναψύξω πρὸ τοῦ με
relax me through assurance that I-may-be-refreshed before the me
ἀπελθεῖν ἐντεῦθεν ἀπληροφόρητον. Ὅπου πνεῦμα Κυρίου,
to-depart from-here unassured where spirit of-(the)-Lord
ὁ δεσμὸς λέλυται· ὅπου ταπείνωσις ἀνείκαστος, ὁ δεσμὸς
the bond has-been-loosed where humility incomparable the bond
λέλυται. Οἱ γὰρ τῶν δύο τούτων χωρίς, μὴ πλανηθῶσι,
has-been-loosed those for of-the two these without not let-them-be-deceived
δέδενται γάρ. Οἱ ἐν κόσμῳ καὶ μόνοι τούτων ὑπάρχουσι
they-are-bound for those in the-world and alone of-these are
ξένοι τῶν πληροφοριῶν, καὶ μάλιστα τῆς προτέρας, δι᾽
strangers of-the assurances and especially of-the former through

ἐλεημοσύνης δέ τινες τρέχουσιν ἐν ἐξόδῳ τὸ ἑαυτῶν
almsgiving and some run at departure the own
κέρδος γνωρίζοντες. Οὐ γνώσεται ὁ ἑαυτὸν θρηνῶν,
gain recognizing not will-know the(-one) himself lamenting
θρῆνον, ἢ πτῶμα ἄλλου, ἢ μέμψιν. Ὑπὸ θηρὸς δηχθεὶς
lament or fall of-another or blame by a-beast bitten
κύων, ἐπὶ πλέον ἐθυμώθη κατ᾽ αὐτοῦ, τῷ πόνῳ τῆς
a-dog for more was-enraged against it by-the pain of-the
πληγῆς πρὸς αὐτὸν ἀσυγχωρήτως μαινόμενος· πρόσχωμεν,
blow at it unforgivingly raging let-us-attend
μήπως οὐκ ἐκ καθαρότητος, ἀλλὰ περικακῆσαν ὥσπερ,
lest not from purity but having-grown-weary as-it-were
τοῦ ἐλέγχειν τὸ συνειδὸς ἐπαύσατο. Σημεῖον τῆς ἐν
from-the to-rebuke the conscience ceased a-sign of-the in
πτώματι λύσεως, τὸ διὰ παντὸς χρεώστην λογίζεσθαι.
a-fall release the through all(-time) a-debtor to-reckon-oneself
Οὐδὲν τῶν τοῦ Θεοῦ οἰκτιρμῶν ἴσον, ἢ μεῖζον ὑπάρχει·
nothing than-the — of-God compassions equal or greater is
διὸ ὁ ἀπογινώσκων, ἑαυτὸν ἔσφαξε. Σημεῖον
therefore the(-one) despairing himself has-slaughtered a-sign
μεμεριμνημένης μετανοίας πασῶν τῶν συμβαινουσῶν
of-careful repentance of-all the happening
ὁρατῶν καὶ ἀοράτων θλίψεων ἀξίους ἑαυτοὺς λογίζεσθαι·
visible and invisible afflictions worthy themselves to-reckon
καὶ τούτων πλείω. Μωϋσῆς μετὰ τὸν Θεὸν ἐν τῷ βάτῳ
and of-these more Moses after — God in the bush
ἰδέσθαι, πάλιν εἰς Αἴγυπτον, ἤγουν σκοτασμὸν πρὸς τὴν
to-see again into Egypt that-is darkness to the
πλινθουργίαν τοῦ νοητοῦ ἴσως Φαραὼ ὑπέστρεψεν· ἀλλὰ
brick-making of-the spiritual perhaps Pharaoh returned but
πάλιν ἀνέρχεται ἐν τῇ βάτῳ· καὶ οὐ μόνον, ἀλλὰ καὶ ἐν
again goes-up to the bush and not only but also on

τῷ ὄρει. Ὁ γνοὺς τὸ θεώρημα, οὐδέ ποτε ἑαυτοῦ
the mountain the(-one) having-known the vision not ever himself
ἀπογινώσκει. Πτωχεύει ὁ μέγας Ἰώβ, ἀλλὰ πάλιν διπλῶς
despairs becomes-poor the great Job but again doubly
ἐπλούτησεν. Ἐν τοῖς ῥᾳθύμοις, χαλεπὰ τὰ μετὰ τὴν
he-grew-rich among the indolent grievous the after the
κλῆσιν πτώματα, τὴν ἐλπίδα τῆς ἀπαθείας ῥαπίσαντα
calling falls the hope of-the dispassion having-slapped
καὶ εἰς μακάριον ἡγεῖσθαι πείθοντα λογιζομένους, κἂν
and for blessed to-hold persuading those-reckoning even
τὴν τοῦ βόθρου ἀνάστασιν. Ὅρα, οὐ γὰρ πάντως δι'
the of-the pit rising see not for surely through
ἧς ὁδοῦ ἐπλανήθημεν, ἐπιστρέφομεν· ἀλλὰ δι' ἑτέρας
which way we-went-astray we-return but through another
συντόμου. Εἶδον δύο ὁμοτρόπως καὶ ὁμοχρόνως πρὸς
short I-saw two in-like-manner and at-the-same-time to
Κύριον βαδίζοντας· καὶ ὁ μὲν τούτων γηραιὸς ἦν, καὶ
(the)-Lord walking and the-one indeed of-them old was and
προύχων ἐν πόνοις· ὁ δὲ ἄλλος μαθητής, καὶ προέδραμε
pre-eminent in labors the and other a-disciple and ran-ahead
τάχιον τοῦ γέροντος· καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον
more-quickly than-the old-man and came first to the tomb
τῆς ταπεινώσεως. Πρόσχωμεν πάντες, ἐπὶ πλείω δὲ οἱ
of-the humility let-us-attend all for more and the
πεπτωκότες, μὴ νοῆσαι ἐν καρδίᾳ τὴν τοῦ Ὠριγένους
fallen not to-think in heart the — of-Origen
τοῦ ἀθέου νόσον· τὴν γὰρ Θεοῦ φιλανθρωπίαν, ἡ μιαρὰ
the godless disease the for of-God love-for-man the foul
προβαλλομένη, εὐπαράδεκτος ἐν τοῖς φιληδόνοις γίνεται.
putting-forward welcome among the pleasure-loving becomes
Ἐν τῇ μελέτῃ μου, μᾶλλον δὲ ἐν τῇ μετανοίᾳ μου
in the meditation my rather and in the repentance my

ἐκκαυθήσεται πῦρ προσευχῆς καιούσης ὕλην. Ὅρος σοι,
will-be-kindled a-fire of-prayer burning matter a-rule for-you
καὶ τύπος, καὶ ὑπογραμμός, καὶ εἰκὼν πρὸς μετάνοιαν
and pattern and outline and image for repentance
ἔστωσαν οἱ προμνημονευθέντες ἅγιοι κατάδικοι, καὶ οὐ
let-be the aforementioned holy convicts and not
μὴ δεηθήσῃ βιβλίου ὅλως ἐν τῇ ζωῇ σου πάσῃ, ἕως οὗ
— you-will-need a-book at-all in the life your all until —
ἐπιφαύσῃ σοι ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ Θεὸς
shines-upon you — Christ the Son — of-God and God
ἐν τῇ ἀναστάσει τῆς μεμεριμνημένης μετανοίας. Ἀμήν.
in the resurrection of-the careful repentance amen

Πέμπτον βαθμὸν ἀνῆλθες ὁ μετανοήσας, τὰς γὰρ 2
fifth step you-ascended the(-one) having-repented the for
πέντε αἰσθήσεις ἐκάθηρας δι᾽ αὐτῆς· καὶ τὴν ἀκούσιον
five senses you-cleansed through it and the unwilling
τιμωρίαν καὶ κόλασιν δι᾽ αὐτῆς αὐτοπροαιρέτου ἐκφυγών.
punishment and chastisement through it self-chosen having-escaped

VI · REMEMBRANCE OF DEATH

Remembrance of death is a daily death; fear of death is natural, but trembling at it shows unrepented sin. God hid the hour of death for our salvation. Hesychius the Horebite, careless for years, returns from a brief death, walls himself in for twelve years in silent tears, and dies saying that no one who knows the remembrance of death will sin. Each day must be lived as the last.

Παντὸς λόγου προηγεῖται ἔννοια. Μνήμη δὲ θανάτου 1
every word goes-before thought remembrance and of-death
καὶ πταισμάτων προηγεῖται κλαυθμοῦ καὶ πένθους· διὸ
and of-failings goes-before weeping and mourning therefore

κατὰ τὴν οἰκείαν τάξιν καὶ ἐν τῷ λόγῳ τέθειται.
according-to the proper order also in the discourse it-has-been-placed
Μνήμη θανάτου ἐστὶ καθημερινὸς θάνατος, μνήμη δὲ
remembrance of-death is a-daily death remembrance and
ἐξόδου κάθωρος στεναγμός. Δειλία μὲν θανάτου ἐστὶν
of-departure an-hourly groan cowardice indeed of-death is
ἰδίωμα φύσεως ἐκ παρακοῆς προσγενόμενον, τρόμος δὲ
a-property of-nature from disobedience having-come trembling but
θανάτου ἐστὶν ἀμετανοήτων πταισμάτων τεκμήριον. Δειλιᾷ
of-death is of-unrepented failings proof fears
Χριστὸς θάνατον, οὐ τρέμει, ἵνα τῶν δύο φύσεων τὰ
Christ death not trembles that of-the two natures the
ἰδιώματα σαφῶς ἐμφανίσῃ. Ὡς πασῶν τροφῶν ὁ ἄρτος
properties clearly he-may-show as of-all foods the bread
ἀναγκαιότερος, οὕτως πασῶν ἐργασιῶν ἡ τοῦ θανάτου
more-necessary thus of-all works the of-the death
ἔννοια· μνήμη θανάτου γεννᾷ ἐν μὲν τοῖς ἐν μέσῳ
thought remembrance of-death begets in indeed those in the-midst
πόνους καὶ ἀδολεσχίας· μᾶλλον δὲ ἀτιμίας ἡδύτητα· παρὰ
toils and meditations rather and of-dishonor sweetness among
δὲ τοῖς ἐκτὸς θορύβου φροντίδων ἀπόθεσιν καὶ εὐχὴν
and those outside of-tumult of-cares laying-aside and prayer
διηνεκῆ, καὶ νοὸς φυλακήν. Αἱ αὐταὶ δὲ αὐτῆς καὶ μητέρες
continual and of-mind guard the same and of-it both mothers
καὶ θυγατέρες κατεστήκασιν· ὡς φανερὸς ὁ κασσίτηρος
and daughters are as clear the tin
παρὰ τὸν ἄργυρον, κἂν τὴν θεωρίαν ἔοικεν, οὕτως παρὰ
beside the silver even-if the look it-resembles thus among
τοῖς διακριτικοῖς φανερὰ καὶ δήλη ἡ φυσική, καὶ ἡ παρὰ
the discerning clear and plain the natural and the against
φύσιν δειλία τῆς ἐξόδου. Τοῦτο ἀληθὲς τεκμήριον τῶν
nature cowardice of-the departure this a-true proof of-those

ἐν αἰσθήσει καρδίας μνημονευόντων τοῦ θανάτου, ἡ πρὸς
in perception of-heart remembering the death the toward
πᾶσαν τὴν κτίσιν ἑκούσιος ἀπροσπάθεια, καὶ τοῦ ἰδίου
all the creation willing detachment and of-the own
θελήματος παντελὴς ἐγκατάλειψις. Δόκιμος μέν, ὁ
will complete abandonment approved indeed the(-one)
τοῦτον καθ' ἡμέραν πάντως προσδεχόμενος· ἅγιος δέ, ὁ
it each day surely expecting holy and the(-one)
τούτου καθ' ὥραν ἐφιέμενος. Οὐ πᾶσα ἐπιθυμία θανάτου
it each hour desiring not every desire of-death
ἀγαθή. Εἰσὶ γὰρ οἱ διηνεκῶς βίᾳ ἕξεως πταίοντες, καὶ
good there-are for those continually by-force of-habit failing and
τοῦτον εὐχόμενοι μετὰ ταπεινώσεως· καὶ εἰσὶν αὖθις οἱ
it praying-for with humility and there-are again those
μετανοῆσαι μὴ βουλόμενοι, καὶ τὸν θάνατον ἐξ ἀπογνώσεως
to-repent not wishing and the death from despair
προσκαλούμενοι· καὶ εἰσὶν οἱ ἐξ οἰήσεως ἀπαθεῖς
calling and there-are those from conceit dispassionate
ἑαυτοὺς ἔχοντες, καὶ τοῦτον μὴ δειλαινόμενοι· καὶ εἰσίν,
themselves holding and it not fearing and there-are
εἴπερ καὶ νῦν ἄρα εἰσίν, οἱ δι' ἐνεργείας Πνεύματος
if-indeed also now then there-are those through working of-(the)-Spirit
ἁγίου τὴν ἐκδημίαν ἐπιζητοῦντες τὴν ἑαυτῶν. Ζητοῦσί τινες
holy the departure seeking the their-own seek some
καὶ διαποροῦσι, τίνος ἕνεκεν οὕτως εὐεργετούσης ἡμᾶς
and are-at-a-loss of-what for-the-sake thus benefiting us
τῆς τοῦ θανάτου μνήμης, τὴν τούτου πρόγνωσιν ὁ Θεὸς
the of-the death remembrance the its foreknowledge — God
ἐξ ἡμῶν ἀπέκρυψεν, μὴ γινώσκοντες ὅτι τὴν σωτηρίαν
from us hid not knowing that the salvation
ἡμῶν ὁ Θεὸς διὰ τούτου εἰργάσατο θαυμασίως.
our — God through this worked wonderfully

2 Οὐδεὶς γὰρ τὸν ἑαυτοῦ θάνατον προγνοὺς πρὸ πολλοῦ
αὐτὸς γὰρ ἤδη βεβοήθηται, διὰ τοῦ ἑβδόμου βαθμοῦ
he for already has-been-helped through the seventh step
τὰς τοῦ αἰῶνος τούτου κηλίδας ἀπονιψάμενος.
the of-the age this stains having-washed-off

VIII · FREEDOM FROM ANGER, AND MEEKNESS

As water quenches flame, the tears of true mourning quench temper. John defines freedom from anger, meekness, anger, quick temper, and bitterness, and warns that a quick temper grinds the soul's grain like a mill. A temper can be rubbed round in a hard community like a stone among stones. He tells of three monks insulted together: one stung and silent, one glad for himself but grieved for the other, one weeping for his neighbor's harm. Temper, brought to trial, names its mothers, vainglory, avarice, gluttony, and sometimes fornication, its father, conceit, and the one who plots against it, humility.

Ὥσπερ ὕδατος ἐν φλογὶ κατὰ μικρὸν προστιθεμένου, 1
as water on a-flame by little being-added
τελείως ἡ φλὸξ ἀποσβέννυται, οὕτω καὶ τοῦ ἀληθινοῦ
completely the flame is-quenched thus also of-the true
πένθους τὸ δάκρυον πᾶσαν τὴν φλόγα τοῦ θυμοῦ καὶ
mourning the tear all the flame of-the temper and

ὀξυχολίας ἀποκτείνειν πέφυκε· διὸ αὐτὸ καὶ ἀκολούθως
quick-temper to-kill is-wont therefore it also in-sequence
τετάχαμεν. Ἀοργησία τοίνυν ἐστὶν ἔφεσις ἀτιμίας
we-have-placed freedom-from-anger therefore is a-desire of-dishonor
ἀκόρεστος, ὡς ἐν τοῖς κενοδόξοις εὐφημίας ἀπέραντος.
insatiable as in the vainglorious of-acclaim unlimited
Ἀοργησία ἐστὶ φύσεως ἧττα, ἐν ἀναισθησίαις ὕβρεων
freedom-from-anger is of-nature a-defeat in insensibilities of-insults
ἐξ ἀγώνων καὶ ἱδρώτων προσγινομένη. Πραότης ἐστὶν
from struggles and sweats coming meekness is
ἀκίνητος ψυχῆς κατάστασις, ἐν ἀτιμίαις καὶ εὐφημίαις
an-unmoved of-soul state in dishonors and acclaims
ὡσαύτως ἔχουσα. Ἀρχὴ μὲν ἀοργησίας, σιωπὴ
alike being (the)-beginning indeed of-freedom-from-anger silence
χειλέων ἐν ταραχῇ καρδίας· μεσότης δὲ σιωπὴ λογισμῶν
of-lips in trouble of-heart the-middle and silence of-thoughts
ἐν ψιλῇ ταραχῇ ψυχῆς· τέλος δὲ πεπηγμένη γαλήνη
in bare trouble of-soul (the)-end and fixed calm
ἐν πνοῇ ἀνέμων ἀκαθάρτων. Ὀργή ἐστιν ὑπόμνησις
in blast of-winds unclean anger is a-reminder
κεκρυμμένου μίσους, ἤγουν μνησικακίας. Ὀργή ἐστιν
of-hidden hatred that-is of-grudge-bearing anger is
ἐπιθυμία κακώσεως τοῦ παροξύνοντος. Ὀξυχολία ἐστὶν
desire of-harm of-the(-one) provoking quick-temper is
ἔξαψις καρδίας ἀχρόνως γινομένη. Πικρία ἐστὶν ἀνήδονος
a-kindling of-heart instantly happening bitterness is a-joyless
κίνησις ἐν ψυχῇ συγκαθημένη. Θυμός ἐστιν εὐμετάβολος
movement in (the)-soul sitting-with temper is a-changeable
κίνησις ἠθῶν, καὶ ψυχῆς ἀσχημοσύνη. Ὡς φωτὸς
movement of-manners and of-soul unseemliness as light
φανέντος ὑποχωρεῖ τὸ σκότος· οὕτως καὶ ἐξ ὀσμῆς
having-appeared withdraws the darkness thus also from (the)-scent

ταπεινώσεως πᾶσα πικρία καὶ θυμὸς ἐξαφανίζεται. Τινὲς
of-humility all bitterness and temper vanishes some
εὐμετάβλητοι ἐκ θυμοῦ ὑπάρχοντες, ἀμελῶς περὶ τὴν
changeable from temper being carelessly about the
τούτου θεραπείαν καὶ ἐπιμέλειαν διάκεινται, μὴ ἐννοοῦντες
of-it healing and care are-disposed not considering
οἱ τάλανες τοῦ εἰπόντος· Ἡ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ,
the wretched(-ones) the(-one) having-said the turn of-the temper his
πτῶσις αὐτῷ. Ἔστι κίνησις μύλου ὀξεῖα ἐν μιᾷ ῥοπῇ
a-fall to-him there-is a-movement of-a-mill swift in one turn
ὑπὲρ τὴν τοῦ ἑτέρου ἡμέραν, σῖτον ψυχῆς, καὶ καρπὸν
beyond the of-the other day grain of-soul and fruit
συντρίβουσα καὶ ἐξαφανίζουσα· διὸ προσεκτέον νουνεχῶς.
grinding and destroying therefore one-must-attend wisely
Ἔστι φλογὸς ἕξαψις συντόμως ὑπὸ σφοδροῦ πνεύματος
there-is of-flame a-kindling quickly by vehement wind
ἀναπτομένη, καὶ ὑπὲρ φλόγα χρονίζουσαν τὸν ἀγρὸν
kindled and beyond flame lingering the field
τῆς καρδίας ἀνεμπιπρῶσα, καὶ ἀπολλύουσα. Οὐδὲ τοῦτο
of-the heart burning and destroying not-even this
ἡμᾶς λανθάνειν ὀφείλει, ὦ φίλοι, ὅτι περ ἐν καιρῷ οἱ
us to-escape ought O friends that indeed in time the
πονηροὶ δαίμονες ἑαυτοὺς συντόμως ὑποστέλλουσιν, ἵν'
wicked demons themselves quickly withdraw so-that
ὡς μικρῶν τῶν μεγάλων παθῶν ἀμελήσαντες, ἀνίατα
as small the great passions having-neglected incurably
λοιπὸν νοσήσωμεν. Ὥσπερ λίθος ὀξύγωνος, καὶ ἀπόκροτος
thereafter we-may-be-sick as a-stone sharp-angled and rugged
ἑτέροις λίθοις συγκρουόμενος καὶ συνδαιρόμενος, ἅπασαν
with-other stones striking and grinding-together all
αὐτοῦ τὴν ὀξύγωνον καὶ ἀπόκροτον καὶ στερρὰν διάπλασιν
its the sharp-angled and rugged and hard form

διαθρύπτεται, καὶ στρογγυλοειδῆ ἀπεργάζεται· οὕτως καὶ
breaks-off and round becomes thus also
ψυχὴ ὀξεῖα καὶ ἀπότομος συμμιγνυμένη καὶ συνδιάγουσα
a-soul sharp and severe mixing and living-with
σκληροῖς τισι, δυεῖν θάτερον ὑπομένει· ἢ ἐκ τῆς
hard some of-two the-one endures either from the
ὑπομονῆς τὸ ἴδιον τραῦμα θεραπεύσει, ἢ ὑποχωρήσασα
endurance the own wound it-will-heal or having-withdrawn
τὴν ἰδίαν πάντως ἀσθένειαν γνωρίσει; τῆς φυγῆς τῆς
the own surely weakness it-will-recognize the flight the
δειλάνδρου ταύτην αὐτῇ, ὥσπερ ἔσοπτρον φανερωσάσης.
cowardly it to-it as a-mirror having-revealed
Θυμώδης ἐστὶν ἐπιληπτικὸς ἑκούσιος, ἐξ ἀκουσίου
(the)-temper-prone is an-epileptic willing from unwilling
προλήψεως, καταῤῥηγνύμενος καὶ ῥασσόμενος. Οὐδὲν οὕτω
habit being-dashed-down and being-thrown nothing so
τοῖς μετανοοῦσιν ἀνοίκειον ὡς θυμὸς ταρασσόμενος, εἴπερ
to-the repenting unsuited as temper being-troubled if-indeed
ἡ ἐπιστροφὴ πολλῆς δεῖται τῆς ταπεινώσεως. Ὁ δὲ πάσης
the conversion much needs the humility it but of-all
οἰήσεως ὑπάρχει τεκμήριον. Εἰ τοῦτο ὅρος ἀκροτάτης
conceit is proof if this (the)-bound of-highest
πραότητος, τὸ καὶ παρόντος τοῦ ἐρεθίζοντος γαληνῶς
meekness the even present the(-one) provoking calmly
τῇ καρδίᾳ καὶ ἀγαπητικῶς πρὸς αὐτὸν διακεῖσθαι,
in-the heart and lovingly toward him to-be-disposed
πάντως τοῦτο ὅρος ἀκροτάτου θυμοῦ, τὸ καὶ καθ᾽
surely this (the)-bound of-highest temper the even by
ἑαυτὸν διάγοντα μόνον, λόγοις καὶ σχήμασι πρὸς τὸν
himself living alone with-words and gestures against the(-one)
λυπήσαντα διαμάχεσθαι, καὶ θηριοῦσθαι. Εἰ τὸ πνεῦμα
having-grieved to-fight and to-become-beastly if the spirit

τὸ ἅγιον εἰρήνη ψυχῆς καὶ ὁρίζεται, καὶ ὑπάρχει· ἡ δὲ
the holy peace of-soul both is-defined and is the but
ὀργή, ταραχὴ καρδίας καὶ ὑπάρχει καὶ λέγεται.
anger trouble of-heart both is and is-called
Οὐκ οὖν οὐδὲν οὕτω τὴν αὐτοῦ παρουσίαν ἐν ἡμῖν, ὡς 2
not then anything so the his presence in us as
θυμὸς ὑποτειχίζειν πέφυκε.
temper to-undermine is-wont
Πάμπολλα καὶ χαλεπὰ αὐτοῦ τὰ γεννήματα γνωρίζοντες· 3
very-many and grievous its the offspring recognizing
ἕνα καὶ μόνον ἀκούσιον ἀπόγονον, εἰ καὶ νόθον, ὅμως
one and only unwilling descendant if even bastard nevertheless
ὠφέλημον ἐπεγνώκαμεν. Εἶδον μανικῶς ἐξαφθέντας, καὶ τὴν
useful we-have-recognized I-saw madly inflamed and the
χρονίαν καὶ ἐναπόθετον μνησικακίαν ἐμέσαντας, καὶ διὰ
chronic and stored-up grudge having-vomited and through
πάθους, πάθους ἀπαλλαγέντας· περὶ τῆς χρονίου λύπης
passion from-passion freed about the chronic grief
ἢ μετάνοιαν, ἢ πληροφορίαν ἐκ τοῦ λελυπηκότος
either penitence or satisfaction from the(-one) having-grieved
κομισαμένους. Καὶ εἶδον τὸ δοκεῖν μακροθυμήσαντας
having-received and I-saw the seeming having-been-long-suffering
ἀλόγως, καὶ ἐκ τῆς σιωπῆς μνησικακίαν ἔνδον ἀποθεμένους,
irrationally and from the silence a-grudge within having-stored
καὶ τῶν μαινομένων μᾶλλον αὐτοὺς ἐταλάνισα, ὡς διὰ
and than-the raving rather them I-called-wretched as through
μέλανος τὸ τῆς περιστερᾶς λευκὸν ἀφανίσαντας. Πολλῆς
blackness the of-the dove white having-destroyed much
ἡμῖν πρὸς τὸν ὄφιν δεῖ τοῦτον τῆς ἐπιμελείας· τὴν γὰρ
for-us against the serpent is-needed this of-the care the for
φύσιν καὶ αὐτός, ὡς καὶ ὁ τῶν σωμάτων συνεργοῦσαν
nature also it as also the of-the bodies working-with

αὐτῷ, κέκτηται. Εἶδον ὀργισθέντας, καὶ ἐκ πικρίας
it has I-saw angered and from bitterness
τὴν τροφὴν ἀπωσαμένους, καὶ μέντοι ἰὸν ἰῷ διὰ
the food having-refused and yet poison to-poison through
τῆς ἀλόγου ἐγκρατείας προσελάβοντο. Καὶ εἶδον ἑτέρους
the irrational continence they-added and I-saw others
ἀφορμῆς δῆθεν εὐλόγου τοῦ θυμοῦ δραξαμένους, καὶ
of-an-occasion supposedly reasonable of-the temper having-seized and
γαστριμαργίᾳ ἑαυτοὺς μεθοδεύσαντας, καὶ ἐκ βοθύνου εἰς
by-gluttony themselves having-led-astray and from a-ditch into
κρημνὸν περιπεσόντας. Ἑτέρους δὲ ἐχέφρονας τεθέαμαι, ὡς
a-cliff having-fallen others and sensible I-have-beheld as
καλοὺς ἰατροὺς ἀμφότερα συγκεράσαντας, καὶ τὰ μέγιστα
good physicians both having-mixed and the greatest
ἐκ τῆς συμμέτρου παρακλήσεως ὠφεληθέντας. Ποτὲ μὲν
from the moderate consolation having-benefited sometimes indeed
ἡ μελῳδία τὸν θυμὸν ἀρίστως διαλύει, ἡ σύμμετρος·
the melody the temper excellently dissolves the moderate
ποτὲ δὲ τῇ φιληδονίᾳ συνέρχεται, ἤγε ἄμετρος καὶ
sometimes and with-the love-of-pleasure comes-together that-at-least immoderate and
ἄκαιρος. Τοὺς οὖν καιροὺς κανονίζοντες, οὕτως ἐχρησάμεθα.
untimely the then times ruling thus we-have-used
Ἤκουσα παρακαθήμενος ἔξω κατά τινα χρείαν ἀνδρῶν
I-heard sitting-by outside for some need of-men
ἡσυχαζόντων, ὡς περδίκων ἐν τῇ κέλλῃ ἐκ πικρίας καὶ
being-still like partridges in the cell from bitterness and
θυμοῦ καθ' ἑαυτοὺς κλοβομαχούντων, τῷ προσώπῳ δὲ
temper by themselves fighting-in-cages at-the face and
ὡς παρόντος τοῦ λελυπηκότος ἐπιπηδώντων· οἷς
as present the(-one) having-grieved leaping-on to-whom
ἔγωγε τὸ μὴ ἀπιδιάζειν εὐσεβῶς συμβεβούλευκα, ἵνα
I the not to-go-apart piously have-advised that

μὴ ἐξ ἀνθρώπων δαίμονες κατασταθῶσι. Καὶ τεθέαμαι
not from men demons they-become and I-have-beheld
πάλιν λάγνους καὶ βρωμώδεις καρδίας, πράους τινὰς
again lustful and foul-smelling of-hearts meek some
καὶ κόλακας, καὶ φιλαδέλφους, καὶ φιλοκαλλιπροσώπους
and flatterers and brother-loving and lovers-of-fair-faces
ὑπάρχοντας, οὓς τὴν ἡσυχίαν ὡς ξύριον μισόλαγνον, καὶ
being whom the stillness as a-razor lust-hating and
μισόβρωμον μετιέναι παρεσκεύασα, ἵνα μὴ ἐκ λογικῆς εἰς
stench-hating to-pursue I-prepared that not from rational into
ἄλογον φύσιν ἐλεεινῶς μετατεθῶσιν. Ἐπεὶ δέ μοί τινες ἐν
irrational nature pitiably they-be-transposed since but to-me some in
ἀμφοτέροις ἑαυτοὺς ἔλεγον οἰκτίστως ἐκφέρεσθαι, τούτους
both themselves said most-pitiably to-be-carried-away these
ἔγωγε πάντη αὐτεξουσίως πορεύεσθαι κεκώλυκα. Τοῖς
I wholly by-their-own-authority to-go have-hindered to-the
μέντοι αὐτῶν ἐπιστατοῦσι τοῦτο φιλικῶς ὑποθέμενος·
however their superiors this in-friendly-fashion having-suggested
ποτὲ μὲν αὐτοῖς τοῦ χρόνου ταύτην, ποτὲ δὲ ἐκείνην
sometimes indeed to-them of-the time this sometimes and that
τὴν τάξιν ἐπιτρέπειν μετέρχεσθαι· ὅμως τὸ πᾶν τῷ
the rank to-allow to-pursue nevertheless the all to-the(-one)
κρατοῦντι πάντα κρατοῦντι, τὸν αὐχένα δούς. Ὁ μὲν
ruling all-things ruling the neck having-given the indeed
φιλήδονος ἑαυτόν, ἴσως δὲ καὶ ἕτερον ἕνα φιλομύστην
pleasure-lover himself perhaps and also another one fellow-initiate
αὐτοῦ λυμαίνεσθαι πέφυκεν· ὁ δὲ θυμώδης ὥσπερ λύκος
his to-defile is-wont the but temper-prone as a-wolf
πᾶσαν πολλάκις τὴν ποίμνην διετάραξε, καὶ πολλὰς
all often the flock troubled and many
ψυχὰς ταπεινώσας διέθλιψε· χαλεπὸν μὲν τὸν τῆς καρδίας
souls having-humbled afflicted grievous indeed the of-the heart

ὀφθαλμὸν ἐκ θυμοῦ ταράξαι, κατὰ τὸν εἰπόντα·
eye by temper to-trouble according-to the(-one) having-said
Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου· χαλεπώτερον δὲ τὸ
was-troubled by temper the eye my more-grievous but the
διὰ χειλέων τὴν τῆς ψυχῆς ὁρμὴν ἐνδείξασθαι· τὸ διὰ
through lips the of-the soul impulse to-show the through
χειρῶν πάντη που τῆς μοναδικῆς, καὶ ἀγγελικῆς, καὶ
hands wholly somewhere of-the monastic and angelic and
θεϊκῆς πολιτείας ἐχθρὸν καὶ ἀλλότριον. Εἰ κάρφος ἑτέρου
divine way-of-life hostile and alien if a-mote of-another
ἰάσασθαι θέλεις, μᾶλλον δὲ νομίζεις μὴ ἀντὶ μήλης
to-heal you-wish rather and you-think not instead-of a-probe
δοκῷ τοῦτον ἀποχρίσης, ἢ ἀποστύψῃς· δοκὸς βαρὺς
with-a-beam it you-anoint or you-sting beam heavy
λόγος, σχήματα ἀπρεπῆ· τὸ δὲ ἕτερον ἐπιεικὴς διδασκαλία,
word gestures unseemly the and other gentle teaching
καὶ μακρόθυμος ἐπιτιμία. Ἔλεγξον, φησίν, ἐπιτίμησον,
and long-suffering rebuke reprove he-says rebuke
παρακάλεσον· οὐ μέντοι καὶ τύψον. Εἰ δὲ καὶ τοῦτο
exhort not however also strike if but even this
δέοι, σπανίως καὶ οὐ δι' ἑαυτοῦ. Ἐπισκεψώμεθα
should-be-needed rarely and not through yourself let-us-consider
καὶ ἐν τοῖς πολλοῖς τῶν θυμικῶν τὴν ἀγρυπνίαν
also in the many of-the temper-prone the vigil
προθύμως, καὶ τὴν νηστείαν καὶ ἡσυχίαν ἐπιτελουμένην
eagerly and the fasting and stillness performed
θεασόμεθα. Σκοπὸς γὰρ τῷ δαίμονι τὰς αὐξητικὰς τοῦ
we-will-behold aim for for-the demon the increasing of-the
πάθους ὕλας, προφάσει δῆθεν μετανοίας, καὶ πένθους
passion materials under-pretext supposedly of-repentance and mourning
αὐτοῖς ὑποτίθεσθαι. Εἰ εἷς λύκος, ὡς προέφημεν, δύναται
to-them to-suggest if one wolf as we-said-before can

ἐκταράξαι ποίμνην, δαίμονα συνεργὸν κεκτημένος, πάντως
trouble a-flock a-demon as-fellow-worker having surely
καὶ εἷς ἀδελφὸς σοφώτατος, ὥσπερ ἀσκὸς χρηστὸς
also one brother most-wise as a-wineskin good
ἐλαίου μεστὸς τὸ κῦμα παρενέγκαι καὶ γαληνιάσαι ποιεῖν
of-oil full the wave to-divert and to-grow-calm to-make
τὴν ὁλκάδα, ἄγγελον συνεργὸν κεκτημένος, κατὰ
the ship an-angel as-fellow-worker having according-to
τὸ μέγεθος τοῦ προτέρου κρίματος, οὗτος ἐκ Θεοῦ
the greatness of-the former judgment this-one from God
μισθὸν κομισόμενος, καὶ τύπος ὠφελείας πᾶσι γινόμενος.
reward going-to-receive and a-pattern of-benefit to-all becoming
Ἀρχὴ τῆς μακαρίας ἀνεξικακίας ἐν πικρίᾳ καὶ ὀδύνῃ
(the)-beginning of-the blessed forbearance in bitterness and pain
ψυχῆς τὰς ἀτιμίας καταδέχεσθαι. Μεσότης δὲ ἀλύπως
of-soul the dishonors to-accept the-middle and without-grief
ἐν ταύταις διακεῖσθαι· τελείωσις δέ, εἴπερ καὶ ἔστιν,
in them to-be-disposed perfection and if-indeed also it-is
ὡς εὐφημίας ταύτας λογίζεσθαι. Χαίροις ὁ πρότερος,
as acclaims them to-reckon rejoice the first
ἐῤῥῶσο ὁ δεύτερος, μακάριος ἐν Κυρίῳ καὶ ἀγαλλιῶ
be-strong the second blessed in (the)-Lord and exult
ὁ τρίτος· ἐλεεινὸν ἐπεσημηνάμην ἐν ὀργίλοις θέαμα,
the third a-pitiable I-noted among (the)-irascible sight
ἐξ οἰήσεως λεληθότως αὐτοῖς συμβαῖνον, ὀργιζόμενοι γὰρ
from conceit secretly to-them happening being-angry for
διὰ τὴν ἥτταν, πάλιν ὠργίζοντο· καὶ πτώματι πτῶμα
because-of the defeat again they-were-angry and by-fall fall
ἐκδιωκόμενον ὁρῶν ἐθαύμαζον· καὶ ἁμαρτίαν ἁμαρτίᾳ
pursued seeing I-marveled and sin by-sin
διεκδικοῦντας ἠλέουν θεώμενος, καὶ δαιμόνων πανουργίαν
avenging I-pitied beholding and of-demons villainy

ἐκπληττόμενος, τῆς ἑαυτοῦ ζωῆς μικροῦ δεῖν ἀπεγίνωσκον.
being-astounded of-the own life by-a-little to-lack I-was-despairing
Εἴ τις ἑαυτὸν ἀπὸ οἰήσεως καὶ ὀξυχολίας, πονηρίας
if anyone himself by conceit and quick-temper wickedness
τε καὶ ὑποκρίσεως εὐχερῶς ἡττώμενον θεάσοιτο, καὶ
both and hypocrisy easily defeated should-behold and
οὕτως τὴν μάχαιραν τῆς πραότητος καὶ ἀνεξικακίας
thus the sword of-the meekness and forbearance
δίστομον καθ' αὐτῶν ἐσκέψατο σπάσασθαι, οὗτος πορευθεὶς
double-edged against them considered to-draw he having-gone
παραγένηται, ὥσπερ ἐν κναφείῳ σωτηρίας, ἐν συνοδίᾳ
let-him-come as in a-fuller's-shop of-salvation in company
ἀδελφῶν, καὶ μάλιστα σκληροτάτων, εἴπερ αὐτὰ τελείως
of-brothers and especially hardest if-indeed them completely
ἐκδύσασθαι βούλεται, ἵνα ἐκεῖσε ἐξ ὕβρεων καὶ ἀτιμιῶν,
to-put-off he-wishes that there from insults and dishonors
καὶ τρικυμιῶν τῶν ἀδελφῶν τεινόμενος, καὶ νοερῶς
and billows of-the brothers stretched and spiritually
τυπτόμενος, ἢ τάχα που καὶ αἰσθητῶς ξεόμενος, καὶ
beaten or perhaps somewhere even sensibly scraped and
πατούμενος καὶ λακτιζόμενος, τὸν ῥύπον τὸν ἐνυπάρχοντα
trodden and kicked the filth the present
αὐτοῦ τῇ αἰσθήσει τῆς ψυχῆς ἀποπλύνῃ· αὐτή σε ἡ
his in-the perception of-the soul he-may-wash-off itself you the
δημώδης φωνὴ πεισάτω πλυντήριον τὸν ὀνειδισμὸν τῶν
popular saying let-persuade a-washing-place the reproach of-the
τῆς ψυχῆς παθῶν καθίστασθαι· φασὶ γάρ τινες τῶν
of-the soul passions to-be they-say for some of-those
ἐν τῷ κόσμῳ ἡνίκα τινὰ κατὰ πρόσωπον ἀτιμίας
in the world when someone to face with-dishonors
περιβάλλουσι, καυχώμενοι πρὸς ἑτέρους, ὅτι τὸν δεῖνα
they-clothe boasting to others that the so-and-so

ἀπέπλυνα. Ὅ τι καὶ ἀληθὲς καθέστηκεν. Ἄλλη ἐστὶν ἡ
I-washed which thing also true is other is the
ἐκ πένθους ἐν τοῖς εἰσαγωγικοῖς ἀοργησία, καὶ ἑτέρα,
from mourning in the beginners freedom-from-anger and other
ἡ ἐν τοῖς τελείοις ὑπάρχουσα ἀκινησία· καὶ ἡ μέν,
the in the perfect being motionlessness and the-one indeed
ὥσπερ χαλινῷ τινι τῷ δακρύῳ δέδεται. Ἡ δέ, ὥσπερ
as with-a-bridle some the tear is-bound the-other and as
ὄφις ὑπὸ τῆς ἀπαθείας, ὡς ὑπὸ μαχαίρας, τεθανάτωται.
a-serpent by the dispassion as by a-sword has-been-killed
Τρεῖς ἔγωγε ὁμοθυμαδὸν ἑώρακα μοναχοὺς ἀτιμασθέντας·
three I with-one-mind have-seen monks dishonored
καὶ ὁ μὲν δέδηκται, καὶ ἐσιώπησεν· ὁ δὲ ἐχάρη ἑαυτοῦ
and the indeed was-stung and kept-silent the and rejoiced of-himself
χάριν, λελύπηται δὲ περὶ τοῦ λοιδορήσαντος· ὁ δὲ
for-the-sake was-grieved but for the(-one) having-reviled the and
τρίτος τὴν τοῦ πλησίον βλάβην ἀνατυπώσας ἐδάκρυσε
third the of-the neighbor harm having-pictured wept
θερμῶς· καὶ ἦν ἰδεῖν φόβου, καὶ μισθοῦ, καὶ
hotly and it-was-possible to-see of-fear and of-reward and
ἀγάπης ἐργάτας. Ὥσπερ ὁ τῶν σωμάτων πυρετός, εἷς
of-love workers as the of-the bodies fever one
μέν ἐστι, πολλὰς δὲ καὶ οὐ μίαν τῆς αὐτοῦ ζέσεως
indeed is many but and not one of-the its heat
τὴν ἀφορμὴν κέκτηται· οὕτως καὶ ἡ τοῦ θυμοῦ ζέσις,
the occasion has thus also the of-the temper heat
καὶ κίνησις, καὶ τῶν λοιπῶν ἡμῶν παθῶν πολλὰς καὶ
and movement and of-the rest our passions many and
διαφόρους αἰτίας ἔχουσα καθεστήκασι. Διὸ καὶ ἀδύνατον
various causes having are therefore also impossible
κατὰ τούτων μονοτρόπως ὁρίσασθαι. Γνώμην δὲ δίδωμι
about these in-one-way to-define opinion and I-give

μᾶλλον ἐν ἑκάστου λοιπὸν τῶν νοσούντων μεμεριμνημένῃ
rather in of-each thereafter of-the sick careful
σπουδῇ τῆς ἰατρείας τὴν θεραπείαν ἐπιζητεῖν. Πρώτη
zeal of-the medicine the healing to-seek first
δ' ἂν εἴη θεραπεία, τῆς αὐτοῦ ἀλγηδόνος τὴν αἰτίαν
and — would-be healing of-the his pain the cause
ἐπιγνῶναι, ἵνα τῆς αἰτίας εὑρεθείσης πρὸς αὐτήν, καὶ τὴν
to-recognize that the cause having-been-found against it also the
ἔμπλαστρον ἐκ προνοίας Θεοῦ καὶ ἰατρῶν πνευματικῶν
plaster from providence of-God and of-physicians spiritual
λήψεται, ὡς ἐν ὑποδείγμασιν οἱ βουλόμενοι ἡμῖν ἐν
he-may-receive as in examples those wishing with-us in
Κυρίῳ εἰς τὸ νοερὸν καὶ προβεβλημένον δικαστήριον
(the)-Lord into the spiritual and set-forth court
συνεισελθεῖν, συνεισελθέτωσαν, καὶ ἀμυδρῶς πως περὶ
to-enter-with let-them-enter-with and dimly somehow about
τῶν προειρημένων παθῶν ἢ αἰτιῶν βασανίσωμεν. Δεθήτω
the aforesaid passions or causes let-us-examine let-be-bound
λοιπὸν θυμὸς ὡς τύραννος ἐν δεσμοῖς πραότητος, καὶ
thereafter temper as a-tyrant in bonds of-meekness and
τυπτόμενος ὑπὸ μακροθυμίας ἐκσυρόμενός τε ὑπὸ τῆς
beaten by long-suffering dragged and by the
ἁγίας ἀγάπης ἐν τῷ βήματι τούτῳ τοῦ λόγου παραστὰς
holy love at the tribunal this of-the discourse standing
τὰ προσήκοντα ἐξεταζέσθω. Λέγε ἡμῖν, ὦ παράφρον καὶ
the fitting-things let-it-be-examined tell us O senseless and
ἄσεμνε, τήν τε τοῦ γεγεννηκότος προσηγορίαν, καὶ
indecent the both of-the(-one) having-begotten(-you) name and
τῆς κακῶς τεκούσης σε προσωνυμίαν, τῶν σῶν τε
of-the(-one) badly having-borne you surname of-the your both
υἱῶν καὶ θυγατέρων μιαρῶν τὰ ὀνόματα· οὐ μόνον δέ,
sons and daughters foul the names not only and

ἀλλὰ καὶ τῶν πολεμούντων καὶ ἀποκτεινούντων σε τὰς
but also of-those warring-against and killing you the
σημασίας. Ὁ δὲ πρὸς ἡμᾶς ἀποκρινόμενος ἔλεγεν. Αἱ ἐμὲ
significations he but to us answering said those me
γεννήσασαι πολλαί, καὶ ὁ ἐμὸς πατὴρ οὐχ εἷς. Αἱ δὲ
having-begotten many and the my father not one the and
μητέρες μου κενοδοξία, φιλαργυρία, γαστριμαργία· ἔστι
mothers my vainglory avarice gluttony there-is
δὲ ὅτε καὶ πορνεία· ὁ ἐμὲ γεγεννηκὼς προσηγορεύεται
and when also fornication the(-one) me having-begotten is-called
τῦφος. Αἱ δὲ ἐμαὶ θυγατέρες μνησικακίαι, μίσος, ἔχθρα,
conceit the and my daughters grudges hatred enmity
δικαιολογία· αἱ ἐμοῦ δὲ ἀντίδικοι, ὑφ' ὧν νῦν περιέχομαι
self-justification the of-me and adversaries by whom now I-am-held
δέσμιος, αἱ τούτων ἀντικείμεναι, ἀοργησία καὶ πραότης.
prisoner the of-these opposites freedom-from-anger and meekness
Ἡ δὲ ἐμὴ ἐπίβουλος, ταπεινοφροσύνη προσαγορεύεται. Τίς
the and my plotter humility is-called who
δὲ ὁ τετοκὼς ἐκείνην, ἐν ἰδίῳ καιρῷ αὐτὴν ἐρωτήσατε.
and the(-one) having-borne her in own time her ask
Ἐν ὀγδόῳ τινὶ βαθμῷ ὁ τῆς ἀοργησίας κεῖται στέφανος, 4
in eighth some step the of-the freedom-from-anger lies crown
καὶ ὁ μὲν ἐκ φύσεως τούτων περικείμενος, ἴσως
and the(-one) indeed from nature these wearing perhaps
οὐ περίκειται ἕτερον· ὁ δὲ ἐξ ἱδρώτων, εἰς ἅπαν
not wears another the(-one) but from sweats in all
τοὺς ὀκτὼ νενίκηκεν.
the eight has-conquered

The virtues are like Jacob's ladder and the vices like the chain that fell from Peter, each binding the next. The remembrance of wrongs is the end of anger, poison of the soul and a nail fixed in it; it may keep a man free of fornication once hatred has broken the bond. Apologize to the enemy, at least with the mouth, until conscience makes the peace real; healing shows when one grieves at his misfortune as one's own. The sufferings of Jesus heal it, and it reaches even spiritual men.

1 Αἱ μὲν ὅσιαι ἀρεταί, τῇ τοῦ Ἰακὼβ κλίμακι παρεοίκασιν,
the indeed holy virtues to-the — of-Jacob ladder are-like
αἱ δὲ ἀνόσιοι κακίαι, τῇ ἁλύσει τῇ ἐκπεσούσῃ ἐκ Πέτρου
the and unholy vices to-the chain the having-fallen from Peter
τοῦ κορυφαίου. Διὸ αἱ μὲν μία τῇ μιᾷ συνδεθεῖσαι εἰς
the chief therefore the indeed one to-the one bound-together to
οὐρανὸν τὸν προαιρούμενον ἀναφέρουσιν· αἱ δὲ ἑτέρα
heaven the(-one) choosing carry-up the and one
τὴν ἑτέραν γεννᾷν καὶ συσφίγγειν πεφύκασιν. Διὸ καὶ
the other to-beget and to-bind-together are-wont therefore also
ἠκούσαμεν νῦν τοῦ ἀσυνέτου θυμοῦ γέννημα αὐτοῦ οἰκεῖον
we-heard now the senseless temper offspring its own
τὴν μνησικακίαν ὑπάρχειν φήσαντος, ὅθεν καὶ καιροῦ νῦν
the grudge-bearing to-be having-said whence also time now
καλοῦντος ἀρτίως περὶ αὐτῆς εἴπωμεν. Μνησικακία ἐστὶ
calling just-now about it let-us-speak grudge-bearing is
θυμοῦ κατάληξις, ἁμαρτημάτων φύλαξ, δικαιοσύνης μῖσος,
of-temper (the)-end of-sins a-guard of-righteousness hatred
ἀρετῶν ἀπώλεια, ἰὸς ψυχῆς, σκώληξ νοός, προσευχῆς
of-virtues ruin poison of-soul a-worm of-mind of-prayer
αἰσχύνη, δεήσεως ἐκκοπή· ἀγάπης ἀλλοτρίωσις, ψυχῆς
shame of-supplication a-cutting-off of-love estrangement of-soul
ἦλος πεπηγώς, ἀνόδυνος αἴσθησις ἐν ἡδύτητι πικρίας
a-nail fixed painless perception in sweetness of-bitterness

ἀγαπωμένη, διηνεκὴς ἁμαρτία, ἄϋπνος παρανομία, κάθωρος
loved continual sin sleepless lawlessness hourly
κακία. Ἓν καὶ τοῦτο σκοτεινόν, καὶ ἀηδὲς πάθος,
vice one also this dark and unpleasant passion
λέγω δὴ τὸ τῆς μνησικακίας τῶν γεννωμένων καὶ οὐ
I-mean indeed the of-the grudge-bearing of-those begotten and not
γεννώντων, ἢ καὶ γεννώντων καθέστηκεν· ὅθεν περὶ αὐτοῦ
begetting or even begetting is whence about it
οὐ πλεῖστα λέγειν βουλόμεθα. Ὁ παύσας ὀργὴν
not very-many-things to-say we-wish the(-one) having-stopped anger
ἀνεῖλε μνησικακίαν· τοῦ γὰρ πατρὸς ζῶντος τεκνογονία
killed grudge-bearing of-the for father living child-bearing
γίνεται· ὁ κτησάμενος ἀγάπην, ἐξενίτευσε μήνιδος·
happens the(-one) having-acquired love has-gone-into-exile from-wrath
ὁ δὲ ἐχθραίνων, κόπους ἀκαίρους ἑαυτῷ συναθροίζει·
the(-one) but being-hostile toils untimely for-himself gathers
τράπεζα ἀπρόσεκτος μήτηρ παῤῥησίας, καὶ διὰ θυρίδος
a-table unheeded mother of-license and through (the)-window
ἀγάπης εἰσπηδήσει γαστριμαργία. Εἶδον μῖσος πορνείας
of-love will-leap-in gluttony I-saw hatred of-fornication
δεσμὸν χρόνιον διαῤῥῆξαν, καὶ μνησικακίαν ἐκεῖ ἄδεσμον
a-bond long-standing having-broken and grudge-bearing there unbound
αὐτὸν τοῦ λοιποῦ παραδόξως διατηρήσασαν· θαυμαστὸν
him for-the rest marvelously having-kept wonderful
ὅραμα, δαίμονα τὸν δαίμονα ἰώμενον. Τοῦτο δὲ ἴσως ἔργον
vision a-demon the demon healing this but perhaps work
Θεοῦ οἰκονομικῶς, καὶ οὐ δαιμόνων καθέστηκε. Μακρὰν
of-God providentially and not of-demons is far
ἀπὸ ἀγάπης στερῤῥᾶς φυσικῆς μνησικακία, εὐχερῶς δὲ
from love firm natural grudge-bearing easily but
πορνεία πλησιάζει αὐτῇ· καὶ λεληθότως ὁρᾷς ἐν περιστερᾷ
fornication draws-near to-it and secretly you-see on a-dove

φθεῖραν. Μνησικακῶν μνησικάκει δαίμοσι, καὶ ἐχθραίνων
a-louse bearing-grudges bear-grudges against-demons and being-hostile
ἔχθραινε τῷ σώματι διὰ παντός. Ἀγνώμων καὶ δόλως
be-hostile to-the body through all(-time) ungrateful and deceitfully
φίλος ἡ σάρξ· καὶ θεραπευομένη, μειζόνως ἀδικεῖ· γραφικὸς
friend the flesh and cared-for more wrongs a-scriptural
ὑφηγητὴς μνησικακία· πρὸς τὴν ἰδίαν εἴδησιν τὰ τοῦ
guide grudge-bearing to the own knowledge the of-the
Πνεύματος λόγια ἀλληγορῶν. Αἰσχυνέτω αὐτὸν Ἰησοῦ ἡ
Spirit oracles allegorizing let-shame it of-Jesus the
προσευχή, ἣν λέγειν σὺν αὐτῷ οὐ δυνάμεθα· ὁπόταν πολλὰ
prayer which to-say with it not we-can when much
πυκτεύσας τὸ σκῶλον διαλῦσαι εἰς τέλος οὐ δύνασαι,
having-boxed the stake to-pull-out to (the)-end not you-can
μετανόει τῷ ἐχθρῷ, κἂν τῷ στόματι, ἵν' ἐπὶ πολὺ
make-penitence to-the enemy at-least with-the mouth so-that for long
ὑπόκρισιν τὴν πρὸς αὐτὸν αἰδεσθείς, τελείως ἀποδέξῃ
hypocrisy the toward him ashamed-of perfectly you-may-accept(-him)
ὑπὸ τοῦ συνειδότος, ὡς ὑπὸ πυρὸς νυττόμενος· τότε
by the conscience as by fire pricked then
γνώσῃ ἑαυτὸν τῆς σηπεδόνος ταύτης ἀπαλλαγέντα· οὐχ
you-will-know yourself from-the rottenness this freed not
ὅταν ὑπὲρ τοῦ λυπήσαντος εὔξῃ· οὐδ' ὅταν αὐτὸν δώροις
when for the(-one) having-grieved you-pray nor when him with-gifts
ἀνταμείψῃ· οὐδ' ὅταν ἐπὶ τράπεζαν ἄγῃς· ἀλλ' ὅταν αὐτὸν
you-repay nor when to table you-bring but when him
ἢ ἐν τοῖς κατὰ ψυχήν, ἢ σωματικὴν συμφορὰν
either in the-things according-to soul or bodily misfortune
δεξάμενον ἀκούσῃς· καὶ ὡς ἐφ' ἑαυτῷ, ὀδυνηθῇς καὶ
having-received you-hear and as for yourself you-are-pained and
δακρύσῃς. Μνησίκακος ἡσυχαστὴς ἐμφωλεύουσα ἀσπίς, ἰὸν
weep a-grudge-bearing solitary a-lurking asp poison

θανατηφόρον ἐν ἑαυτῇ περιφέρουσα· μνῆμα παθημάτων
deadly in itself carrying-about remembrance of-(the)-sufferings
Ἰησοῦ ἰάσεται μνησικακίαν ἐκ τῆς αὐτοῦ ἀνεξικακίας
of-Jesus will-heal grudge-bearing by the his forbearance
ἰσχυρῶς αἰσχυνομένην. Ξύλῳ σαθρῷ ἔνδοθεν ἐναποτίκτονται
mightily shamed in-wood rotten within are-bred
σκώληκες· καὶ πραοτάτοις καὶ ἡσυχίοις νόθοις συγκολλᾶται
worms and to-(the)-meekest and still counterfeit is-glued
μῆνις. Ὁ ἀποβάλλων αὐτὴν εὗρεν ἄφεσιν, ὁ δὲ
wrath the(-one) casting-away it found forgiveness the(-one) but
προσκολλώμενος αὐτῇ. Ἐστερήθη οἰκτιρμῶν· εἰς πόνους
cleaving to-it was-deprived of-compassions to toils
καὶ ἱδρῶτας διὰ συγχώρησιν ἑαυτούς τινες ἐκδεδώκασιν·
and sweats because-of pardon themselves some have-given-over
ἀμνησίκακος δὲ ἀνὴρ προκατελάβετο τούτους· εἴπερ
free-of-grudges but man anticipated them if-indeed
«ἄφετε συντόμως, καὶ ἀφεθήσεται ἡμῖν πλουσίως·» τῆς
forgive quickly and will-be-forgiven to-us richly of-the
γνησίας ἡ ἀμνησικακία τεκμήριον· ὁ δὲ ταύτην
genuine the freedom-from-grudges proof the(-one) but it
κατέχων, καὶ μετανοεῖν δοκῶν, ὅμοιός ἐστι τῷ
holding and to-repent seeming like is to-the(-one)
καθ' ὕπνους τρέχειν δοκοῦντι. Εἶδον μνησικάκους περὶ
in sleep to-run seeming I-saw grudge-bearers about
ἀμνησικακίας· ἄλλοις μνησικάκοις παραινέσαντες καὶ τοὺς
freedom-from-grudges to-other grudge-bearers having-exhorted and at-the
οἰκείους λόγους ἐντραπέντες, τοῦ πάθους ἐπαύσαντο.
own words having-been-shamed from-the passion they-ceased
Μηδεὶς ψιλὸν πάθος τὴν ἐσκοτισμένην ταύτην ὑπονοήσοιτο·
let-no-one bare passion the darkened this suspect

πέφυκε γὰρ πολλάκις καὶ μέχρι τῶν πνευματικῶν ἀνδρῶν
it-is-wont for often even as-far-as the spiritual men
ἐπεκτείνεσθαι.
to-extend

2 Βαθμὸς ἔννατος ὁ κτησάμενος, παῤῥησίᾳ λοιπὸν τὴν
step ninth the(-one) having-acquired with-boldness thereafter the
λύσιν τῶν πταισμάτων αἰτείτω παρὰ τοῦ Σωτῆρος Ἰησοῦ.
release of-the failings let-him-ask from the Savior Jesus

X · SLANDER

Slander is born of hatred and the remembrance of wrongs, and hides behind the plea of love and care. John tells slanderers to pray for the fallen instead, recalling that Judas was among the disciples and the thief among the murderers. A man he condemned as a fornicator had repented secretly and was temperate before God. To judge is to seize God's dignity, and those who search out their neighbors' faults fall into the same. The good grape-picker eats the ripe grapes and leaves the sour.

1 Οὐδεὶς τῶν εὐφρονούντων ἀντείπῃ, οἶμαι, μὴ ἐκ μίσους
no-one of-those thinking-rightly would-deny I-think not from hatred
καὶ μνησικακίας τὴν καταλαλιὰν τίκτεσθαι· διὸ καὶ
and grudge-bearing the slander to-be-born therefore also
μετὰ τοὺς αὐτῆς προγόνους ὡς ἐν εἱρμῷ τέτακται.
after the its ancestors as in sequence it-has-been-placed
Καταλαλιά ἐστιν ἀποκύημα μίσους· λεπτὴ νόσος, παχεία,
slander is an-offspring of-hatred a-subtle disease thick
κεκρυμμένη καὶ λανθάνουσα βδέλλα, ἀγάπης ἐκδαπανῶσα
hidden and escaping-notice a-leech of-love consuming
καὶ ἐξαφανίζουσα αἷμα· ἀγάπης ὑπόκρισις· καρδίας ῥύπου
and destroying (the)-blood of-love hypocrisy of-heart of-filth
καὶ βάρους πρόξενος· ἀφανισμὸς ἁγνείας. Ὥσπερ εἰσὶ
and burden cause destruction of-purity as there-are

νεάνιδες ἀπηρυθριασμένως τὰ κακὰ πράττουσαι· εἰσὶ
young-women shamelessly the evil-things doing there-are
δὲ ἕτεραι λεληθότως καὶ αἰδεστικωτέρως χαλεπώτερα
and others secretly and more-modestly worse
τῶν προτέρων ἐπιτελοῦσαι· οὕτως καὶ ἐπὶ τῶν παθῶν
than-the former accomplishing thus also in the passions
τῆς ἀτιμίας ἔστιν ἰδεῖν. Αἱ πλείους ὕπουλοι νεάνιδες
of-the dishonor it-is-possible to-see the most insidious young-women
ὑπόκρισις, πονηρία, λύπη, μνησικακία, καταλαλιὰ καρδίας,
hypocrisy wickedness grief grudge-bearing slander of-heart
ἄλλα μὲν τῷ δοκεῖν ὑποτιθέμεναι, ἄλλα δὲ
other-things indeed in-the seeming suggesting other-things and
ἀποβλέπουσαι. Ἤκουσα καταλαλούντων, καὶ ἔπληξα, καὶ
looking-at I-heard slanderers and I-rebuked and
τοῦτο πρὸς ἀπολογίαν οἱ τοῦ κακοῦ ἐργάται ἀπεκρίναντο·
this for defense the of-the evil workers answered
ὡς ἐξ ἀγάπης καὶ φροντίδος τοῦ καταλαλουμένου
that from love and care of-the(-one) slandered
τοῦτο ποιοῦσιν. Ἐγὼ δὲ αὐτοῖς· Παύσασθε, ἔφην, τῆς
this they-do I and to-them stop I-said from-the
τοιαύτης ἀγάπης· ἵνα μὴ ψεύσηται ὁ εἰρηκώς· Τὸν
such love that not may-lie the(-one) having-said the(-one)
καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον.
slandering secretly the neighbor his him I-drove-out
Εἰ λέγεις ἀγαπᾷν, εὔχου λεληθότως, καὶ μὴ σκῶπτε τὸν
if you-say to-love pray secretly and not mock the
ἄνδρα· οὗτος γὰρ ὁ τρόπος δεκτὸς παρὰ Κυρίῳ. Μὴ δὲ
man this for the way acceptable with (the)-Lord not and
τοῦτό σε λανθανέτω, καὶ πάντως ἐκνήψεις τοῦ μὴ
this you let-escape and surely you-will-become-sober from-the not
κρίνειν τὸν πταίοντα. Ἰούδας ἐν τῷ χορῷ τῶν μαθητῶν
to-judge the(-one) failing Judas in the band of-the disciples

ἦν, ὁ δὲ λῃστὴς ἐν τῷ χορῷ τῶν φονευτῶν· καὶ θαῦμα
was the but robber in the band of-the murderers and a-wonder
πῶς ἐν μιᾷ ῥοπῇ ἡ ἀντικαταλλαγὴ γέγονεν. Εἴ τις
how in one turn the exchange happened if anyone
καταλαλιᾶς πνεῦμα νικῆσαι βούλεται, μὴ τῷ πταίοντι,
of-slander (the)-spirit to-conquer wishes not to-the(-one) failing
ἀλλὰ τῷ ὑποβάλλοντι δαίμονι τὴν μέμψιν ἐπιγραφέτω·
but to-the suggesting demon the blame let-him-ascribe
οὐδεὶς γὰρ θέλει εἰς Θεὸν ἁμαρτῆσαι, εἰ καὶ ἀβίαστος
no-one for wishes against God to-sin if even unforced
πᾶς ἡμῶν τυγχάνει. Εἶδον προφανῶς ἁμαρτήσαντα, καὶ
every of-us happens-to-be I-saw openly having-sinned and
λεληθότως μετανοήσαντα, καὶ ὃν κατέκρινα ὡς πόρνον, ἦν
secretly having-repented and whom I-condemned as a-fornicator was
λοιπὸν παρὰ Θεῷ σώφρων διὰ τῆς ἐπιστροφῆς γνησίως
thereafter with God temperate through the turning genuinely
αὐτὸν ἐξευμενισάμενος· μηδέποτε αἰδεσθῇς τὸν πρὸς
him having-propitiated never respect the(-one) to
σὲ τὸν πλησίον καταλαλοῦντα· μᾶλλον δὲ λέγε· Παῦσαι,
you the neighbor slandering rather but say stop
ἀδελφέ· ἐγὼ καθημέραν ἐν χαλεπωτέροις πταίω, καὶ πῶς
brother I each-day in worse-things fail and how
ἐκεῖνον κατακρίνειν δύναμαι; Δύο γὰρ ταῦτα κερδανεῖς ἐν
him to-condemn can-I two for these(-things) you-will-gain with
μιᾷ ἐμπλάστρῳ, καὶ σεαυτόν, καὶ τὸν πλησίον ἰασάμενος·
one plaster both yourself and the neighbor having-healed
μία καὶ αὕτη τῶν συντόμως ὁδῶν πρὸς τὴν ἄφεσιν
one also this of-the quickly ways to the forgiveness
τῶν πταισμάτων καθέστηκεν ὁδηγουσῶν· λέγω δὲ τὸ μὴ
of-the failings is leading I-mean but the not
κρίνειν· Εἴπερ μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε. Ἀλλότριον
to-judge if-indeed not judge and not — you-will-be-judged alien

τὸ πῦρ τοῦ ὕδατος, ὥσπερ τὸ κρίνειν τῷ μετανοεῖν
the fire to-the water as the to-judge to-the(-one) to-repent
βουλομένῳ· κἂν ἐν αὐτῇ τῇ ἐξόδῳ τινὰ θεάσῃ πταίοντα,
wishing even-if at the-very the departure someone you-see failing
μὴ τότε αὐτὸν κατάκρινε. Ἄδηλον γὰρ ἀνθρώποις τὸ τοῦ
not then him condemn unclear for to-men the —
Θεοῦ κρῖμα καθέστηκεν. Ἔπταισάν τινες μεγάλα προφανῶς·
of-God judgment is failed some greatly openly
εἰργάσαντο δὲ ἀγαθὰ μείζονα κρυπτῶς· καὶ ἠπατήθησαν
worked but good-things greater secretly and were-deceived
οἱ φιλοσκῶπται καπνὸν ἀντὶ ἡλίου κατέχοντες. Ἀκούσατέ
the mockers smoke instead-of sun holding hear
μου, ἀκούσατε, πάντες οἱ κακοὶ τῶν ἀλλοτρίων λογοθέται·
me hear all the evil of-the others' auditors
εἰ ἀληθές, ὥσπερ καὶ ἀληθές, ὅτι Ἐν ᾧ κρίματι κρίνετε,
if true as also true that with what judgment you-judge
κριθήσεσθε, πάντως ἐν οἷς ἂν μεμψώμεθα τὸν πλησίον,
you-will-be-judged surely in what-things — we-blame the neighbor
ἐν αὐτοῖς περιπεσούμεθα· καὶ ἀλλοίως οὐκ ἔστιν, εἴτε
in them we-will-fall and otherwise not it-is whether
σωματικοῖς, εἴτε ψυχικοῖς. Οἱ ὀξεῖς καὶ ἀκριβεῖς λογοθέται
bodily or of-(the)-soul the sharp and exact auditors
τῶν τοῦ πλησίον πλημμελημάτων ὑπάρχοντες, τοῦτο
of-the of-the neighbor faults being this
τὸ πάθος ὑφίστανται, ἐπειδὴ μήπω περὶ τῶν οἰκείων
the passion undergo since not-yet about the own
πταισμάτων τελείαν καὶ ἀρέμβαστον μνήμην καὶ φροντίδα
failings perfect and undistracted remembrance and care
ἐποιήσαντο. Εἰ γάρ τις τὰ ἑαυτοῦ κακὰ ἀπὸ τοῦ
they-made if for anyone the own evils from the
τῆς φιλαυτίας περικαλύμματος ἀκριβῶς θεάσοιτο, οὐδενὸς
of-the self-love covering exactly should-behold of-nothing

λοιπὸν ἄλλου τῶν ἐν τῷ βίῳ φροντίδα ποιήσοιτο,
thereafter else of-the-things in the life care he-would-make
λογιζόμενος μηδὲ πρὸς τὸ οἰκεῖον πένθος ἐξαρκεῖν αὐτῷ
reckoning not-even for the own mourning to-suffice him
τὸν ἑαυτοῦ χρόνον, κἂν ἑκατὸν ἔτη ζήσειεν· κἂν τὸν
the own time even-if hundred years he-should-live even-if the
Ἰορδάνην ποταμὸν ὅλον δάκρυον ἐκ τῶν ἑαυτοῦ ὀφθαλμῶν
Jordan river whole tear from the own eyes
ἴδοι ἐκπορευόμενον. Ἐπεσημηνάμην τὸ πένθος, καὶ
he-should-see going-forth I-observed the mourning and
οὐχ εὗρον ἐν αὐτῷ ἴχνος καταλαλιᾶς, ἢ κατακρίσεως.
not I-found in it trace of-slander or of-condemnation
Ἢ ἁμαρτῆσαι ἡμᾶς οἱ δαίμονες προτρέπονται· ἢ μὴ
either to-sin us the demons urge or not
ἁμαρτήσαντας, τοὺς ἁμαρτάνοντας κρίνειν· ἵνα διὰ τοῦ
having-sinned the sinning to-judge that through the
δευτέρου τὸ πρῶτον μολύνωσιν οἱ φόνιοι. Γίνωσκε
second the first they-may-defile the murderous(-ones) know
καὶ τοῦτο τῶν μνησικάκων καὶ βασκάνων εἶναι τεκμήριον·
also this of-the grudge-bearing and envious to-be a-proof
ὅτι τὰς διδαχάς, ἢ πράγματα, ἢ κατορθώματα ἡδέως
that the teachings or deeds or achievements gladly
καὶ εὐχερῶς τοῦ πλησίον ψέγουσιν, ὑπὸ πνεύματος μίσους
and easily of-the neighbor they-blame by (the)-spirit of-hatred
καταβαπτιζόμενοι. Εἶδόν τινας λεληθότως καὶ ἀδημοσιεύτως
drenched I-saw some secretly and unpublicly
πάνδεινα διαπράττοντας πταίσματα· καὶ τῇ ὑπολήψει
most-terrible committing failings and in-the supposition
τῆς ἑαυτῶν καθαρότητος χαλεπῶς ἐπεμβαίνοντας τοῖς
of-the own purity grievously attacking those
ψιλὰ πταίουσι, καὶ δημοσιευομένοις. Κρῖναί ἐστιν τῆς τοῦ
slightly failing and published to-judge is of-the —

Θεοῦ ἀξίας ἀναιδὴς ἁρπαγμός· κατακρῖναι δὲ τῆς ἑαυτοῦ
of-God dignity a-shameless seizure to-condemn and of-the own
ψυχῆς ὄλεθρος. Ὥσπερ ἡ οἴησις καὶ χωρὶς ἑτέρου πάθους
soul destruction as the conceit even without other passion
ἀπολέσαι τὸν ἄνθρωπον ἰσχύει· οὕτως καὶ τὸ κρίνειν
to-destroy the man is-strong thus also the to-judge
καθ' ἑαυτὸ καὶ μόνον ἐν ἡμῖν ὑπάρχον τελείως ἀπολέσαι
by itself and alone in us being perfectly to-destroy
ἡμᾶς δύναται· εἴπερ ὁ Φαρισαῖος ἐκεῖνος ἐκ τούτου
us can if-indeed the Pharisee that from this
καταδεδίκασται. Ὁ καλὸς ῥαγολόγος τὰς πεπείρους ῥάγας
was-condemned the good grape-gatherer the ripe grapes
ἐσθίων, οὐδὲν περὶ τῶν ὀμφάκων ἐπιραγολογήσει· καὶ ὁ
eating nothing about the unripe will-glean and the
εὐγνώμων καὶ ἐχέφρων νοῦς, ὅσας μὲν ἔν τισιν ἀρετὰς
grateful and sensible mind as-many-as indeed in some virtues
ὄψεται, ταῦτα σπουδαίως σημειώσεται· ὁ δὲ ἄφρων
it-will-see these(-things) zealously will-note the but fool
τὰς μέμψεις καὶ τὰς ἐλλείψεις ἐξερευνήσει, περὶ οὗ καὶ
the blames and the defects will-search-out about whom also
εἴρηται· Ἐξηρεύνησαν ἀνομίαν, ἐξέλιπον ἐξερευνῶντες
it-has-been-said they-searched-out lawlessness they-failed searching
ἐξερευνήσεις. Μηδὲ τοῖς σοῖς ὀφθαλμοῖς ὁρῶν, κατάκρινε·
searchings nor with-the your eyes seeing condemn
πολλάκις γὰρ καὶ αὐτοὶ πεπλάνηνται.
often for even they have-been-deceived

Ἀνάβασις δεκάτη, ἣν ὁ νικήσας ἀγάπης ἐργάτης 2
ascent tenth which the(-one) having-conquered of-love worker
ἢ πένθους καθέστηκεν.
or of-mourning is

Talkativeness is the seat of vainglory, the door of slander, and the dissolution of compunction; silence with knowledge is the mother of prayer and the guard of the thoughts. Jesus' silence shamed Pilate, and Peter wept after one word. A questioner tells John that talkativeness comes from habit, from vainglory, or from gluttony, which is why fasting often curbs the tongue. The one who knows the scent of the fire above flees crowds as a bee flees smoke.

1 Εἴρηται μὲν ἡμῖν βραχέως ἐν τοῖς φθάσασιν, ὡς
it-has-been-said indeed by-us briefly in the preceding-things that
ἐπισφαλὲς λίαν, καὶ αὐτοῖς τοῖς πνευματικοῖς εἶναι δοκοῦσι
dangerous very even to-those the spiritual to-be seeming
παρεισδῦνον τὸ κρίνειν· μᾶλλον δὲ τὸ κρίνεσθαι, καὶ ὑπὸ
creeping-in the to-judge rather but the to-be-judged and by
γλώττης κολάζεσθαι· νυνὶ δὲ λοιπὸν καὶ τὴν αἰτίαν, καὶ τὴν
(the)-tongue to-be-punished now but thereafter both the cause and the
θύραν δι' ἧς εἰσέρχεται, μᾶλλον δὲ ἐξέρχεται, ἀκόλουθον
door through which it-enters rather but goes-out consequent
ἐν λόγοις τάξαι. Πολυλογία ἐστὶ κενοδοξίας καθέδρα,
in words to-set talkativeness is of-vainglory a-seat
δι' ἧς ἑαυτὴν ἐμφανίζειν καὶ ἀναπομπεύειν πέφυκε.
through which itself to-show and to-parade it-is-wont
Πολυλογία ἐστὶν ἀγνωσίας τεκμήριον, καταλαλιᾶς θύρα,
talkativeness is of-ignorance proof of-slander door
εὐτραπελίας χειραγωγός, ψεύδους ὑπουργός, κατανύξεως
of-jesting guide of-falsehood servant of-compunction
διάλυσις, ἀκηδίας κλήτωρ, ὕπνου πρόδρομος, συννοίας
dissolution of-listlessness summoner of-sleep forerunner of-recollection
σκορπισμός, φυλακῆς ἀφανισμός, θέρμης ψυχρηστήριον,
scattering of-watchfulness destruction of-warmth cooler
προσευχῆς ἀμαύρωσις σιωπὴ ἐν γνώσει· μήτηρ προσευχῆς,
of-prayer darkening silence with knowledge mother of-prayer

αἰχμαλωσίας ἀνάκλησις, πυρὸς φυλακή, λογισμῶν
of-captivity recall of-fire guard of-thoughts
ἐπίσκοπος, σκοπὸς πολεμίων, πένθους δεσμωτήριον,
overseer watcher of-enemies of-mourning prison
δακρύων φίλη, θανάτου μνήμης ἐργάτης, κολάσεως
of-tears friend of-death of-remembrance worker of-punishment
ζωγράφος, κρίσεως φιλοπράγμων, ἀδημονίας ὑπουργός,
painter of-judgment diligent-seeker of-distress servant
παῤῥησίας ἔχθρα, ἡσυχίας σύζυγος, φιλοδιδασκαλίας
of-license enemy of-stillness spouse of-love-of-teaching
ἀντίπαλος, γνώσεως προσθήκη, θεωρημάτων δημιουργός,
adversary of-knowledge increase of-contemplations maker
ἀφανὴς προκοπή, λεληθυῖα ἀνάβασις. Ὁ ἐπιγνοὺς
hidden advance secret ascent the(-one) having-recognized
παραπτώματα, ἐκράτησε γλώσσης· ὁ δὲ πολύλογος
falls mastered (the)-tongue the(-one) but talkative
οὔπω ἐπέγνω ἑαυτὸν ὡς δεῖ. Ὁ σιωπῆς φίλος προσεγγίζει
not-yet recognized himself as he-must the of-silence friend draws-near
Θεῷ, καὶ λεληθότως συνομιλῶν φωτίζεται παρὰ τοῦ Θεοῦ.
to-God and secretly conversing is-enlightened by — God
Ἰησοῦ σιωπὴ ἐνέτρεψε Πιλάτον, καὶ ἀνδρὸς ἡσυχία φωνῆς
of-Jesus silence shamed Pilate and of-a-man stillness of-voice
κατήργησε κενοδοξίαν. Λόγον εἰπὼν Πέτρος ἐθρήνησε
abolished vainglory a-word having-said Peter wept
πικρῶς ἀμνημονήσας τοῦ εἰπόντος· Εἶπα· Φυλάξω τὰς
bitterly having-forgotten the(-one) having-said I-said I-will-guard the
ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου, καὶ
ways my for-the not to-sin me in tongue my and
τοῦ ἑτέρου φήσαντος, Κρεῖττον πεσεῖν ἀπὸ ὕψους εἰς γῆν,
the other having-said better to-fall from height to earth
ἢ ἀπὸ γλώσσης. Καὶ πολλὰ περὶ τούτων ἔγωγε γράφειν
than from tongue and much about these I to-write

οὐ βούλομαι, κἂν αἱ τοῦ παθῶν πανουργίαι τοῦτο ποιεῖν
not wish even-if the of-the passions villainies this to-do
προτρέπωνται. Πλὴν ἤκουσά ποτέ τινος περὶ ἡσυχίας
urge however I-heard once someone about stillness
στόματος πρός με φιλοπευστοῦντος, ὃς ἔλεγε, τὴν μὲν
of-mouth to me inquiring who said the indeed
πολυλογίαν ἐξ ἑνὸς τούτων τίκτεσθαι πάντως, ἢ ἐξ
talkativeness from one of-these to-be-born surely either from
ἀναστροφῆς καὶ συνηθείας πονηρᾶς καὶ ἀκρατοῦς· μέλος
conduct and habit evil and unrestrained member
γὰρ ὂν φυσικὸν ἡ γλῶσσα τοῦ σώματος, καθ' ὃ
for being natural the tongue of-the body according-to which
λοιπὸν παιδευθῇ συνήθειαν ἀπαιτήσειεν, ἢ πάλιν ἐν τοῖς
thereafter it-is-trained custom would-demand or again in those
ἀγωνιζομένοις, καὶ μάλιστα ἐκ τῆς κενοδοξίας· ἔστι δὲ
contending and especially from the vainglory there-is and
ὅτε καὶ ἐκ τῆς γαστριμαργίας. Διόπερ πολλάκις πολλοὶ
when also from the gluttony therefore often many
χαλινοῦντες τὴν γαστέρα, βίᾳ τινὶ καὶ ἀτονίᾳ συγκλείουσι
bridling the belly with-force some and weakness shut-in
καὶ τὴν γλῶτταν καὶ τὴν πολυέπειαν. Ὁ μεριμνήσας
also the tongue and the wordiness the(-one) having-cared-for
ἐξόδου περιέκοψε λόγους· καὶ ὁ κτησάμενος πένθος
departure cut-off words and the(-one) having-acquired mourning
ψυχῆς, ὡς πῦρ ἀπεστράφη πολυλογίαν. Ὁ ἀγαπήσας
of-soul as fire turned-from talkativeness the(-one) having-loved
ἡσυχίαν, ἀπέκλεισε στόμα, ὁ δὲ χαίρων ταῖς προόδοις,
stillness shut (the)-mouth the(-one) but rejoicing in-the goings-out
ὑπὸ τοῦ πάθους ἐκ τῆς κέλλης διώκεται. Ὁ γνοὺς
by the passion from the cell is-driven the(-one) having-known
ὀσμὴν πυρὸς ὑψίστου, ὡς μέλισσα καπνόν, ἀνθρώπων
the-scent of-fire most-high as a-bee smoke of-men

φεύγει σύνοδον· τὴν μὲν γὰρ ὁ καπνὸς διώκει· τῷ
flees (the)-company the-one indeed for the smoke drives-off to-the(-other)
δὲ ἀνθρώπων σύνοδος ἀντιπράττει. Ὀλίγων λίαν τὸ ὕδωρ
but of-men company opposes of-few very the water
ἄφρακτον κωλύειν· ὀλιγωτέρων δὲ στόμα ἀκρατὲς δαμάσαι.
unfenced to-hinder of-fewer but a-mouth unrestrained to-tame
Βαθμὸν ἑνδέκατον ὁ κινήσας, πλῆθος κακῶν ὑφ' ἓν 2
step eleventh the(-one) having-moved a-multitude of-evils at once
περιέκοψεν.
cut-off

XII · LYING

Lying is the offspring of talkativeness and jesting, and perjury is a denial of God. John has seen men pride themselves on jokes that destroy their hearers' mourning, and tells the monk to leave or break up such gatherings with talk of death and judgment. Hypocrisy is the mother of lying. Lies differ by motive, from fear of punishment to plotting against a brother, and the liar who pleads economy like Rahab only excuses his own ruin; only one wholly cleansed of lying may use it, with fear and when occasion calls. An infant knows no lie, and the one drunk with compunction cannot lie.

Γέννημα μὲν σιδήρου καὶ λίθου πῦρ· γέννημα δὲ πολυλογίας 1
offspring indeed of-iron and stone fire offspring and of-talkativeness
καὶ εὐτραπελίας ψεῦδος. Ψεῦδός ἐστιν ἀγάπης ἀφανισμός·
and jesting falsehood falsehood is of-love destruction
ἐπιορκία δὲ Θεοῦ ἄρνησις. Μηδεὶς τῶν εὐφρονούντων
perjury and of-God denial let-no-one of-those thinking-rightly
μικράν τινα τὴν τοῦ ψεύδους ἁμαρτίαν εἶναι ὑπονοήσει·
small some the of-the falsehood sin to-be suppose
φοβερᾷ γὰρ ὑπὲρ πάντα ἀποφάσει κατὰ τούτου τὸ πανάγιον
fearful for beyond all-things sentence against it the all-holy

Πνεῦμα ἐχρήσατο. Εἰ ἀπολεῖς πάντας τοὺς λαλοῦντας
Spirit used if you-will-destroy all those speaking
τὸ ψεῦδος, ὥς φησιν ὁ Δαυὶδ πρὸς τὸν Θεόν, τί λοιπὸν
the falsehood as says — David to — God what thereafter
πείσονται οἱ μεθ' ὅρκων τὸ ψεῦδος συῤῥάπτοντες; Εἶδόν
will-suffer those with oaths the falsehood stitching-together I-saw
τινας ἐπὶ ψεύδει σεμνυνομένους, καὶ δι' εὐτραπελίας,
some in falsehood priding-themselves and through jesting
καὶ ἀργολογίας γελοῖα ἐξυφαίνοντας· καὶ τὰ τῶν
and idle-talk laughable-things weaving and the of-the
προσακροωμένων πένθη ἐλεεινῶς ἐξαφανίζοντας ὁπόταν
listeners mournings pitiably destroying when
οἱ δαίμονες ἴδωσιν ἡμᾶς ὡς ἐκ λοιμικῆς νόσου τῆς τῶν
the demons see us as from pestilential disease from-the of-the
ἀστείων ἀκροάσεως μετὰ τὴν προκάταρξιν τοῦ χαλεποῦ
witticisms hearing after the start of-the grievous
ὑφηγητοῦ ἀναχωρεῖν δοκιμάζοντας, τότε λοιπὸν δυσὶν ἡμᾶς
guide to-withdraw trying then thereafter with-two us
δελεάζειν ἐπιχειροῦσι λογισμοῖς· Μὴ λυπήσῃς τὸν ἐξηγητήν,
to-entice they-attempt thoughts not grieve the storyteller
ὑποβάλλοντες ἡμῖν· ἤ, Μὴ φανερώσῃς σεαυτὸν φιλοθεώτερον
suggesting to-us or not show yourself more-God-loving
τῶν παρόντων· ἀποπήδα, μὴ χρονίσῃς. Εἰ δὲ μή, ἐν τῇ
than-those present leap-away not linger if but not in the
προσευχῇ σου ἔννοιαν γελοίων ἀνατυπώσεις. Μὴ μόνον
prayer your thought of-laughable-things you-will-picture not only
φεῦγε, ἀλλὰ καὶ τὸν πονηρὸν συνακτήριον εὐσεβῶς διάλυε,
flee but also the wicked gathering piously dissolve
θανάτου καὶ κρίσεως εἰς μέσον ὑπόμνησιν προβαλλόμενος·
of-death and of-judgment into the-midst reminder putting-forward
ἄμεινόν σε γὰρ ἐκ τούτου ἴσως καὶ μικρᾷ κενῇ δόξῃ
better you for from this perhaps also with-little empty glory

ῥαντισθῆναι, καὶ μόνον πᾶσι πρόξενον ὠφελείας εὑρεθῆναι.
to-be-sprinkled and only for-all cause of-benefit to-be-found
Ὑπόκρισις μήτηρ ψεύδους πολλάκις, καὶ ὑπόθεσις· οὐδὲν
hypocrisy mother of-falsehood often and foundation nothing
γάρ τινες ὑπόκρισιν ὁρίζονται, ἀλλ' ἢ ψεύδους μελέτην
for some hypocrisy define but — of-falsehood a-practice
καὶ δημιουργὸν κεκολασμένον καὶ συμπεπλεγμένον· ὁ
and maker punished and interwoven the(-one)
φόβον Κυρίου κτησάμενος, ἐξενίτευσε ψεύδους, δικαστὴν
fear of-(the)-Lord having-acquired has-gone-into-exile from-falsehood a-judge
ἀδέκαστον ἔχων τὴν ἰδίαν συνείδησιν. Ὥσπερ ἐν πᾶσι
incorruptible having the own conscience as in all
τοῖς πάθεσι διαφορὰν βλάβης γνωρίζομεν, οὕτως καὶ
the passions difference of-harm we-recognize thus also
ἐπὶ τοῦ ψεύδους. Ἄλλο μὲν γὰρ τὸ κρῖμα τοῦ
in the falsehood other indeed for the judgment of-the(-one)
διὰ φόβον κολάσεως ψευδομένου· καὶ ἕτερον τό,
because-of fear of-punishment lying and other the
κινδύνου μὴ προκειμένου ψεύδεσθαι. Ἄλλος διὰ τρυφὴν
danger not lying-ahead to-lie one because-of luxury
ἐψεύσατο, ἕτερος διὰ φιληδονίαν· ἄλλος ἵνα τοῖς παροῦσι
lied another because-of love-of-pleasure another that to-those present
προξενήσῃ γέλωτα, ἕτερος δὲ ἵνα τῷ ἀδελφῷ ἐπιβουλεύσῃ,
he-might-provide laughter another and that the brother he-might-plot-against
καὶ τοῦτον κακοποιήσῃ. Ἐκ βασάνων ἀρχόντων ἐξαλείφεται
and him harm from tortures of-rulers is-wiped-out
ψεῦδος· ἐκ δὲ δακρύων πλήθους εἰς τέλος ἀπόλλυται
falsehood from and of-tears multitude to (the)-end it-is-destroyed
προφασίζεται οἰκονομίας ὁ ψεύδους προβολεύς, καὶ
pleads dispensations the of-falsehood promoter and
δικαιοσύνας πολλάκις λογίζεται τὰς ψυχῆς ἀπωλείας. Τῆς
righteous-deeds often reckons the of-soul destructions —

Ῥαὰβ μιμητὴν ἑαυτὸν τεκμαίρεσθαι ψευδοπλάστης ἀνήρ,
of-Rahab an-imitator himself to-judge a-lie-forger man
καὶ δι᾽ ἀπωλείας οἰκείας τὴν ἑτέραν σωτηρίαν λέγει
and through destruction own the other's salvation he-says
ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, ὑποβάλλουσα.
they-may-see the good your works suggesting
Πολλάκις ὁ Κύριος τοὺς κενοδόξους δι' ἀτιμίας 5
often the Lord the vainglorious through dishonor
ἐπισυμβαινούσης εἰς ἀκενοδοξίαν κατέστησεν. Ἀρχὴ
befalling into freedom-from-vainglory brought beginning
ἀκενοδοξίας φυλακὴ στόματος, καὶ ἀτιμίας ἀγάπη·
of-freedom-from-vainglory guarding of-mouth and of-dishonor love
μεσότης δὲ ἀνακοπὴ πάντων τῶν νοουμένων τῆς κενοδοξίας
middle and a-cutting-off of-all the conceived of-the vainglory
ἐπιτηδευμάτων· τέλος δὲ (εἴπερ ἄρα καὶ ἔστι τῇ ἀβύσσῳ
practices end and if-indeed then also there-is to-the abyss
τέλος) τὸ τὰ πρὸς ἀτιμίαν συντελοῦντα ἐπὶ πλήθους
an-end the the(-things) toward dishonor contributing before (a)-multitude
ἐπιτηδεύειν ἀνεπαισθήτως. Μὴ κρύπτε σὴν αἰσχύνην διὰ
to-practice unfeelingly not hide your shame because-of

τὸ δοκεῖν μὴ διδόναι πρόσκομμα· λοιπὸν δὲ καὶ πρὸς
the seeming not to-give offense thereafter but also according-to
τὸ εἶδος τοῦ σφάλματος, οὐ τῇ αὐτῇ ἐμπλάστρῳ ἴσως
the kind of-the fault not the same plaster perhaps
χρήσασθαι χρή. Ὁπόταν ἡμεῖς τὴν δόξαν προσκαλούμεθα,
to-use one-must when we the glory summon
καὶ ὅταν ἀκλήτως ὑφ' ἑτέρων προπεμπομένη πρὸς ἡμᾶς
and when unsummoned by others sent to us
παραγίνηται. Ὅταν πρὸς κενοδοξίαν ἐπιτηδεύματά τινα
it-comes when for vainglory practices some
ποιεῖν ἐπιχειρήσωμεν, τοῦ ἑαυτῶν πένθους, καὶ τῆς
to-do we-attempt of-the own mourning and of-the
ἐν τῇ ἰδιαζούσῃ ἡμῶν προσευχῇ ἐμφόβου παραστάσεως
in the private our prayer fearful standing
ἐννοηθῶμεν συντόμως, καὶ πάντως ἐντρέψομεν τὴν
let-us-think quickly and surely we-will-shame the
ἀναιδῆ, εἴπερ ἄρα καὶ προσευχῆς ἀληθινῆς ἐπιμελούμεθα·
shameless(-one) if-indeed then also prayer true we-care-for
εἰ δὲ οὔ, τῆς ἑαυτῶν ἐξόδου συντόμως ἔννοιαν λάβωμεν. Εἰ
if but not of-the own departure quickly thought let-us-take if
δὲ μή, κἂν τὴν ἐπακολουθοῦσαν αἰσχύνην τῇ κενοδοξίᾳ
but not at-least the following shame on-the vainglory
φοβηθῶμεν· Ὁ γὰρ ὑψῶν ἑαυτόν, ταπεινωθήσεται
let-us-fear the(-one) for exalting himself will-be-humbled
πάντως, καὶ ἐνταῦθα πρὸ τοῦ μέλλοντος αἰῶνος· ὅταν οἱ
surely even here before the coming age when the
ἐπαινέται, μᾶλλον δὲ πλανῆται, ἐπαινεῖν ἡμᾶς ἄρξωνται,
praisers rather but deceivers to-praise us begin
τοῦ πλήθους τῶν ἀνομιῶν ἡμῶν κατὰ νοῦν συντόμως
the multitude of-the iniquities our in mind quickly
μνημονεύσωμεν, καὶ εὑρήσομεν ἑαυτοὺς ἀναξίους τῶν
let-us-remember and we-will-find ourselves unworthy of-the(-things)

λεγομένων ἢ πραττομένων. Εἰσὶ πάντως καὶ κενόδοξοι
said or done there-are surely also vainglorious(-ones)
ἔν τισιν αἰτήμασιν αὐτῶν εἰσακουσθῆναι παρὰ τοῦ Θεοῦ
in some requests their to-be-heard by — God
ὀφείλοντες, ὧν ὁ Κύριος προκαταλαμβάνειν τὰς εὐχὰς
deserving whose the Lord to-anticipate the prayers
καὶ τὰς δεήσεις πέφυκεν· ἵνα μὴ δι' εὐχῆς εἰληφότες
and the petitions is-wont that not through prayer having-received
τῇ ἑαυτῶν οἰήσει προσθήσουσιν· οὐ πάνυ οἱ ἁπλούστεροι
to-the own conceit they-add not very the simpler
τῷ ἰῷ τούτῳ περιπίπτειν πεφύκασι. Κενοδοξία γάρ
into-the poison this to-fall are-wont vainglory for
ἐστιν ἁπλότητος ἀποβολή, καὶ ἐπίπλαστος διαγωγή·
is of-simplicity a-casting-off and feigned conduct
σκώληξ πολλάκις αὐξηθεὶς πτεροφυήσας ἀνηνέχθη εἰς
a-worm often having-grown having-sprouted-wings was-carried-up to
ὕψος, καὶ κενοδοξία τελεσθεῖσα ὑπερηφανίαν ἔτεκε, τὴν
height and vainglory having-been-completed pride bore the
πάντων τῶν κακῶν ἀρχηγὸν καὶ τελειωτήν.
of-all the evils author and finisher

6 Ὁ τῆς νόσου ταύτης ἐκτός, ἔγγιστα τῆς σωτηρίας·
the(-one) of-the disease this outside very-near to-the salvation
ὁ δ' οὔ, πόῤῥω φανήσεται τῆς ἁγίων δόξης.
the(-one) and not far will-appear from-the of-(the)-saints glory

7 Βαθμὸς κβ′. Ὁ ταύτῃ μὴ ἁλούς, οὐ μὴ περιπέσῃ
step twenty-second the(-one) by-this not caught not — will-fall-into
τῇ ἐχθραινούσῃ Θεῷ ἀκεφάλῳ ὑπερηφανίᾳ.
the hostile to-God headless pride

Pride is the denial of God, a demons' invention, the mother of condemnation, and the agent of falls; it begins where vainglory ends and ends in denying God's help. A proud brother who told an elder he was not proud gave the clearest proof that he was. Gifts are no cause for boasting, since all that came after birth was given, and ten thousand deaths for Christ would not repay his blood. Pride is poverty imagining wealth, a pomegranate rotten within. Scourged, pride and vainglory confess that they beget all the passions and are powerless against sincere self-blame before the Lord; vainglory is pride's horse, and humility throws horse and rider into the sea.

1 Ὑπερηφανία ἐστὶ Θεοῦ ἄρνησις, δαιμόνων εὕρημα,
pride is of-God denial of-demons invention
ἐξουδένωσις ἀνθρώπων, κατακρίσεως μήτηρ, ἐπαίνων
contempt of-men of-condemnation mother of-praises
ἀπόγονος, ἀκαρπίας τεκμήριον, βοηθείας Θεοῦ
offspring of-barrenness a-proof of-help of-God
φυγαδευτήριον, ἐκστάσεως πρόδρομος, πτωμάτων πρόξενος,
banisher of-derangement forerunner of-falls cause
ἐπιληψίας ὑπόθεσις, θυμοῦ πηγή, ὑποκρίσεως θύρα,
of-epilepsy foundation of-temper spring of-hypocrisy door
δαιμόνων στήριγμα, ἁμαρτημάτων φύλαξ, ἀσπλαγχνίας
of-demons support of-sins guard of-mercilessness
πρόξενος, συμπαθείας ἄγνοια, λογοθέτης πικρός, δικαστὴς
cause of-compassion ignorance auditor bitter judge
ἀπάνθρωπος, Θεοῦ ἀντίπαλος, βλασφημίας ῥίζα, ἀρχὴ
inhuman of-God adversary of-blasphemy root beginning
ὑπερηφανίας, τέλος κενοδοξίας· μεσότης δὲ ἐξουδένωσις
of-pride end of-vainglory middle and contempt
τοῦ πλησίον, πόνων ἰδίων ἀναιδὴς ἐκπόμπευσις, ἔπαινος ἐν
of-the neighbor of-toils own shameless parading praise in
καρδίᾳ, ἐλέγχου μῖσος· τέλος ἄρνησις Θεοῦ βοηθείας, καὶ
heart of-reproof hatred end denial of-God of-help and

οἰκείας σπουδῆς ἔπαρσις. δαιμονιῶδες ἦθος. Ἀκούσωμεν
of-own zeal exaltation demonic character let-us-hear
πάντες οἱ τὸν βόθρον ἐκφυγεῖν βουλόμενοι, ἐξ εὐχαριστίας
all those the pit to-escape wishing from thanksgiving
πολλάκις τὸ πάθος τὴν νομὴν φιλεῖ προσλαμβάνεσθαι·
often the passion the pasture loves to-take
ἀναιδῶν γὰρ ἐκ προοιμίων Θεὸν ἀρνεῖσθαι οὐχ
shamelessly for from (the)-outset God to-deny not
ὑποτίθεται. Εἶδον εὐχαριστοῦντας τῷ Θεῷ στόματι, καὶ
suggests I-saw thanking — to-God with-(the)-mouth and
μεγαλαυχοῦντας τῷ φρονήματι· καὶ μαρτυρεῖ τοῦτο σοφῶς
boasting in-the mind and testifies this wisely
ὁ Φαρισαῖος ἐκεῖνος εἰρηκώς· Ὁ Θεός, εὐχαριστῶ σοι.
the Pharisee that having-said O God I-thank you
Ὅπου πτῶμα κατέλαβεν, ἐκεῖ ὑπερηφανία προεσκήνωσε·
where a-fall came there pride encamped-first
μηνυτὴς γὰρ τοῦ προτέρου τὸ δεύτερον. Ὑπόθου μοι
informer for of-the former the second suppose for-me
εἶναι δώδεκα πάθη τῆς ἀτιμίας. Τινὸς τετιμημένου
to-be twelve passions of-the dishonor someone honored
ἀκήκοα φήσαντος· Ἐὰν ἓν τούτων (λέγω δὴ τὴν
I-have-heard saying if one of-these I-mean indeed the
οἴησιν) ἀγαπήσῃς θελήματι, ἐκεῖνο ἀναπληρώσει τὸν τόπον
conceit you-love by-will that will-fill the place
τῶν ἕνδεκα. Ὑψηλόφρων μοναχὸς ἀντιλέγει σφοδρῶς.
of-the eleven a-high-minded monk contradicts vehemently
Ὁ δὲ ταπεινόφρων οὐδαμῶς ἀντιλέγειν ἐπίσταται. Οὐχ
the but humble-minded(-one) in-no-way to-contradict knows not
ὑποκλίνει κυπάρισσος εἰς γῆν περιπατεῖν· οὐδὲ μοναχὸς
bends (a)-cypress to earth to-walk nor a-monk
ὑψηλοκάρδιος ὑπακοὴν κτήσασθαι. Ἀνὴρ ὑψηλοκάρδιος τοῦ
high-hearted obedience to-acquire a-man high-hearted for-the

ἄρχειν ὀρέγεται· ἄλλως γάρ, ὡς ἔτυχεν, ἀπολέσθαι εἰς
to-rule longs otherwise for as it-happened to-perish to
τέλος οὐ δύναται· μᾶλλον δὲ οὐ βούλεται. Ὑπερηφάνοις
(the)-end not is-able rather but not wishes (the)-proud
Κύριος ἀντιτάσσεται. Τίς λοιπὸν τούτους ἐλεῆσαι δύναται;
(the)-Lord resists who thereafter them to-pity can
Ἀκάθαρτος παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος. Καὶ τίς
unclean before (the)-Lord every high-hearted(-man) and who
λοιπὸν τὸν τοιοῦτον ἀποκαθᾶραι δύναται; Παίδευσις μὲν
thereafter the such(-man) to-cleanse can correction indeed
ὑπερηφάνῳ πτῶμα· σκόλοψ δὲ δαίμων· ἐγκατάλειψις δὲ
for-a-proud(-man) a-fall a-thorn and (a)-demon abandonment and
ἔκτασις. Καὶ τὰ μὲν πρότερα πολλάκις καὶ ἄνθρωποι
derangement and the indeed former often also men
ὑπὸ τῶν ἀνθρώπων ἐθεραπεύθησαν· τὸ δὲ ἔσχατον παρ᾽
by the men were-healed the but last with
ἀνθρώποις ἀνίατον. Ὁ ἀποσειόμενος ἔλεγχον, τὸ πάθος
men incurable the(-one) shaking-off reproof the passion
ἐσήμανεν· ὁ δὲ προσδραμών, τοῦ δεσμοῦ λέλυται· εἰ
showed the(-one) but having-run-to(-it) from-the bond is-loosed if
χωρὶς ἑτέρου πάθους τις διὰ τούτου καὶ μόνου τῶν
without other passion someone through this and alone from-the
οὐρανῶν κατέπεσε, ζητητέον μήπως καὶ δίχα ἀρετῆς
heavens fell it-must-be-asked whether also without virtue
ἑτέρας ἐκ ταπεινώσεως εἰς οὐρανοὺς ἀναβαίνειν ἐνδέχεται.
other from humility to heaven to-ascend it-is-possible
Ὑπερηφανία ἐστὶ πλούτου καὶ ἱδρώτων ἀπώλεια· ἐκέκραξαν,
pride is of-wealth and of-sweats loss they-cried
καὶ οὐκ ἦν ὁ σώζων, πάντως, ὅτι μεθ᾽ ὑπερηφανίας·
and not was the(-one) saving surely because with pride

ἐκέκραξαν πρὸς Κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν,
they-cried to (the)-Lord and not he-heard them
πάντως, ὅτι τὰς αἰτίας καθ' ὧν ηὔχοντο, οὐκ ἀπέκοπτον.
surely because the causes against which they-prayed not they-cut-off
Ἀδελφὸν ὑπερηφανεύόμενον γέρων γνωστικώτατος 2
a-brother being-proud an-elder most-knowing
πνευματικῶς ἐνουθέτησεν, ὁ δὲ τυφλώττων φησί·
spiritually admonished the(-one) but being-blind says
Συγχώρησον, πάτερ, οὐκ εἰμὶ ὑπερήφανος. Ὁ δὲ πάνσοφος
forgive father not I-am proud the but all-wise
γέρων πρὸς αὐτόν· Καὶ ποίαν, φησί, τέκνον, ἀπόδειξιν
elder to him and what he-says child proof
σαφεστέραν ταύτης παρέχεις ἡμῖν τοῦ πάθους, ἀλλ' ἢ τὸ
clearer than-this do-you-give us of-the passion but — the
εἰπεῖν· Οὐκ εἰμὶ ὑπερήφανος; Πάνυ τοῖς τοιούτοις συνέρχεται
to-say not I-am proud very the such(-men) helps
ἡ ὑποταγή, καὶ παχυτέρα καὶ ἀτιμοτέρα διαγωγή· καὶ ἡ
the submission and a-coarser and more-dishonored conduct and the
τῶν ὑπὲρ φύσιν τῶν πατέρων κατορθωμάτων ἀνάγνωσις·
of-the beyond nature of-the fathers achievements reading
ἴσως κἂν οὕτως ἔσται τοῖς νοσοῦσι μικρὰ σωτηρίας ἐλπίς.
perhaps at-least thus will-be for-the sick a-small of-salvation hope
Αἰσχύνη ἐπ' ἀλλοτρίῳ κόσμῳ ἐπαίρεσθαι· ἄνοια δὲ ἐσχάτη,
a-shame in another's adornment to-be-lifted-up folly and utmost
ἐπὶ χαρίσμασι Θεοῦ φαντάζεσθαι. Ὅσα σοι κατορθώματα
in (the)-gifts of-God to-give-oneself-airs as-many to-you achievements
πρὸ τῆς σῆς γεννήσεως γεγόνασιν, ἐπὶ τούτοις μόνοις
before the your birth have-happened in these alone
ἐπαίρου· τὰ γὰρ μετὰ γέννησιν ὁ Θεὸς ἐδωρήσατο,
be-lifted-up the(-ones) for after birth — God gave
ὥσπερ καὶ τὴν γέννησιν· ὅσας ἐκτὸς τοῦ νοὸς ἀρετὰς
as also the birth as-many without the mind virtues

κατώρθωκας, αὗται καὶ μόναι σοῦ τυγχάνουσι· τὸν γὰρ
you-have-achieved these also alone yours are the for
νοῦν Θεὸς ὁ δωρησάμενος. Ὅσα ἐκτὸς τοῦ σώματος
mind God the(-one) having-given as-many without the body
ἐπεδείξω ἔπαθλα, ἐκ σῆς σπουδῆς καὶ μόνον γεγόνασι· τὸ
you-displayed prizes from your zeal and alone have-come the
γὰρ σῶμα, οὐ σόν, ἀλλὰ τοῦ Θεοῦ ποίημα· μὴ θάρσει ἕως
for body not yours but — of-God work not be-confident until
τὴν ἀπόφασιν δέξῃ, ὁρῶν ἐκεῖνον καὶ μετὰ τὴν ἐν τῷ
the verdict you-receive seeing that(-man) even after the in the
νυμφῶνι κατάκλισιν χεῖρας καὶ πόδας δεσμούμενον, καὶ
bridal-chamber reclining hands and feet being-bound and
εἰς τὸ σκότος τὸ ἐξώτερον ἐξοριζόμενον· μὴ ὑψαυχένει,
into the darkness the outer being-banished not hold-your-neck-high
γήϊνος ὤν· πολλοὶ γὰρ καὶ ἐξ οὐρανῶν ἐῤῥίφησαν ἅγιοι
earthy being many for even from heaven were-thrown holy
καὶ ἄϋλοι τυγχάνοντες. Ὅταν χώραν ἐν τοῖς ἑαυτοῦ
and immaterial being when room in the own
ἐργάταις ὁ δαίμων λήψεται· τότε ἂν τοῖς κατὰ τοὺς
workers the demon will-take then — to-them in the
ὕπνους, ἢ καὶ καθ' ὕπαρ ὡς ἐν σχήματι δῆθεν ἁγίου
sleeps or also in waking as in form supposedly of-a-holy
ἀγγέλου, ἢ καὶ μάρτυρός τινος ἐπιφαινόμενος, μυστηρίων
angel or also of-a-martyr some appearing of-mysteries
αὐτοῖς ἀποκάλυψιν, ἢ χαρισμάτων δωρεὰν ἐπιδίδωσιν, ἵνα
to-them revelation or of-gifts bestowal grants that
ἀπατηθέντες οἱ τάλανες τελείως τῶν φρενῶν ἐκπέσωσιν.
having-been-deceived the wretched(-ones) completely from-the wits they-may-fall
Εἰ καὶ μυρίους θανάτους ὑπὲρ Χριστοῦ ὑπομείνωμεν, οὐδὲ
if even ten-thousand deaths for Christ we-endure not-even
οὕτως τὸ δέον ἀνεπληρώσαμεν· ἄλλο γὰρ αἷμα Θεοῦ, καὶ
thus the due we-have-fulfilled other for blood of-God and

ἕτερον αἷμα δούλων, κατὰ τὸ ἀξίωμα, καὶ οὐ κατὰ τὴν
other blood of-servants in the dignity and not in the
οὐσίαν· συζητοῦντες ἑαυτοὺς ἀεί, καὶ ἀνακρίνοντες πρὸς τοὺς
essence examining ourselves always and comparing with the
πρὸ ἡμῶν πατέρας καὶ φωστῆρας, μὴ παυσώμεθα, καὶ τότε
before us fathers and luminaries not let-us-cease and then
εὑρήσομεν ἑαυτοὺς μηδὲ ὅλως ἴχνος ἀκριβοῦς πολιτείας
we-will-find ourselves not-even at-all (the)-track of-(an)-exact way-of-life
πατήσαντας· μηδὲ τὸ ἐπάγγελμα ὁσίως τηρήσαντας· ἀλλ᾽
having-trodden nor the vow piously having-kept but
ἔτι ἐν τῇ κοσμικῇ καταστάσει διατρίβοντας.
still in the worldly state living

Μοναχὸς κυρίως ἐστὶν ἀμετεώριστον ὄμμα ψυχῆς, καὶ 3
a-monk properly is an-undistracted eye of-soul and
ἀκίνητος σώματος αἴσθησις. Μοναχός ἐστιν ὁ τοὺς
unmoved of-body sense a-monk is the(-one) the
πολεμίους, δίκην θηρῶν, προσκαλούμενος, καὶ ἐρεθίζων
enemies like beasts calling-out and provoking
ἐν τῷ φεύγειν ἀπ᾽ αὐτοῦ. Μοναχός ἐστιν ἀδιάστατος
in the fleeing from him a-monk is unbroken
ἔκστασις, καὶ λύπη ζωῆς. Μοναχός ἐστιν ὁ ποιωθεὶς
ecstasy and grief of-life a-monk is the(-one) formed
ταῖς ἀρεταῖς, ὡς ἄλλος ταῖς ἡδοναῖς. Μοναχός ἐστιν
by-the virtues as another by-the pleasures a-monk is
ἄληκτον φῶς ἐν ὀφθαλμῷ καρδίας. Μοναχός ἐστιν ἄβυσσος
unceasing light in (the)-eye of-(the)-heart a-monk is an-abyss
ταπεινώσεως, ἐν αὐτῇ πᾶν πνεῦμα κρημνίσας καὶ
of-humility in it every spirit having-hurled-down and
ἀποπνίξας. Λήθην πταισμάτων τύφος ἐργάζεται· ἐκείνων
having-drowned forgetfulness of-failings conceit works of-them
γὰρ μνήμη ταπεινοφροσύνης πρόξενος. Ὑπερηφανία
for remembrance of-humility cause pride

ἐστὶν ἐσχάτη πενία ψυχῆς· πλοῦτον ἐν σκοτείᾳ οἰομένη οὐ
is utmost poverty of-soul wealth in darkness imagining not
μόνον προβαίνειν οὐκ ἐᾷ ἡ μιαρά, ἀλλὰ καὶ τοῦ ὕψους
only to-advance not allows the foul(-one) but also from-the height
ἀποῤῥίπτει. Ὑπερηφανία ἐστὶ ῥοιὰ ἔσωθεν σεσηπυῖα,
hurls-down pride is a-pomegranate within rotten
ἔξωθεν δὲ τῇ ὥρᾳ ἀποστίλβουσα. Μοναχὸς ὑπερήφανος
without but with-the bloom gleaming a-monk proud
οὐ δεηθήσεται δαίμονος· αὐτὸς γὰρ λοιπὸν ἑαυτῷ δαίμων
not will-need a-demon himself for thereafter to-himself demon
καὶ πολέμιος γέγονεν· ἀλλότριον μὲν τοῦ φωτὸς τὸ σκότος·
and enemy has-become foreign indeed to-the light the darkness
ἀλλότριος δὲ καὶ ὑπερήφανος παντοίας ἀρετῆς. Ἐν
foreign and also (the)-proud(-man) to-every-kind-of virtue in
ὑπερηφάνων καρδίαις γεννηθήσονται βλασφημίας ῥήματα·
of-(the)-proud hearts will-be-born of-blasphemy words
ἐν ταπεινῶν δὲ ψυχαῖς, οὐράνια θεωρήματα. Βδελύττεται
in of-(the)-humble but souls heavenly visions abhors
ἥλιον κλέπτης, ὑπερήφανος δὲ πραεῖς ἐξουδενώσει.
(the)-sun a-thief a-proud(-man) and (the)-meek will-despise
Ἔλαθον, πῶς οὐκ οἶδα, ἑαυτοὺς ὑπερηφάνων πλεῖστοι·
deceived how not I-know themselves of-(the)-proud very-many
καὶ δόξαντες ἀπαθεῖς εἶναι, τὴν οἰκείαν πενίαν ἐν ἐξόδῳ
and having-seemed dispassionate to-be the own poverty at departure
ἑωράκασιν. Ὁ ταύτῃ ἁλοὺς Κυρίου δεηθήσεται· ματαία
have-seen the(-one) by-this caught of-(the)-Lord will-have-need vain
γὰρ παρ᾽ ἐκείνῳ σωτηρία ἀνθρώπων. Κατείληφά που
for with him salvation of-men I-have-caught somewhere
τὴν ἀκέφαλον πλανῆτιν πέλουσαν ἐν τῇ ἐμῇ καρδίᾳ, καὶ ἐπὶ
the headless wanderer being in the my heart and on
τῶν ὤμων τῆς οἰκείας μητρὸς ὀχουμένην· ἃς παγιδεύσας
the shoulders of-the own mother riding whom having-snared

δεσμῷ ὑπακοῆς, καὶ μάστιγι εὐτελείας μαστιγώσας,
with-(the)-bond of-obedience and with-(the)-whip of-lowliness having-whipped
τὴν ἐν ἐμοὶ αὐτῶν εἴσοδον ἐξήταζον λέγειν· διὸ καὶ
the in me their entry I-questioned to-tell therefore also
μαστιζόμεναι ἔλεγον· Ἡμεῖς ἀρχὴν οὐκ ἔχομεν, οὐδὲ
being-whipped they-said we beginning not have nor
γέννησιν· ἄρχουσαι γὰρ καὶ γεννήτριαι πάντων τῶν παθῶν
birth rulers for and begetters of-all the passions
καθεστήκαμεν· πολεμεῖ δὲ ἡμᾶς οὐ μετρίως συντριμμὸς
we-are wars but us not moderately contrition
καρδίας ἐν ὑποταγῇ τικτόμενος· ἄρχεσθαι γὰρ ὑπ' οὐδενὸς
of-heart in submission born to-be-ruled for by no-one
σεσυνηθίκαμεν. Διὸ καὶ ἐν οὐρανοῖς ἄρχουσαι γεγονυῖαι,
we-are-accustomed therefore also in heaven rulers having-become
ἐκεῖθεν ἀπεστατήσαμεν· διὸ καὶ πάντων συλλήβδην
from-there we-revolted therefore also of-all in-sum
εἰπεῖν, τῶν ἀντιπραττόντων τῇ ταπεινοφροσύνῃ, ἡμεῖς
to-say the(-things) opposing the humility we
γεννήτριαι· πάντα γὰρ τὰ ἐκείνῃ συνεργοῦντα, ἡμῖν
begetters all for the(-things) it aiding us
ἀντίκεινται. Πλὴν ἐν οὐρανῷ ἰσχύσαμεν, καὶ ποῦ ἀπὸ
oppose but in heaven we-prevailed and where from
προσώπου ἡμῶν φεύξῃ; Ἡμεῖς πολλάκις ἐπ' ἀτιμίαις,
(the)-face our will-you-flee we often upon dishonors
καὶ ὑπακοῇ, καὶ ἀοργησίᾳ, καὶ ἀμνησικακίᾳ, καὶ
and obedience and freedom-from-anger and freedom-from-grudges and
διακονίᾳ ἐπακολουθεῖν πεφύκαμεν· ἡμῶν ἔκγονα πτώματα
service to-follow are-wont our offspring falls
πνευματικῶν· ὀργή, καταλαλιά, πικρία, θυμός, κραυγή,
of-spiritual(-men) anger slander bitterness temper clamor
βλασφημία, ὑπόκρισις, μῖσος, φθόνος, ἀντιλογία, ἰδιορυθμία,
blasphemy hypocrisy hatred envy contradiction self-will

ἀπείθεια. Ἕν ἐστι καὶ μόνον ἐν ᾧ ἐπιχειρεῖν οὐκ
disobedience one-thing is and only in which to-attack not
ἔχομεν δύναμιν· καὶ τοῦτο σοι μαστιζόμεναι λέγομεν·
we-have power and this to-you being-whipped we-tell
Ἐὰν ἑαυτὸν ἐνώπιον Κυρίου εἰλικρινῶς καταμέμψῃ, ἡμᾶς
if yourself before (the)-Lord sincerely you-blame us
ὡς ἀράχνην λελογίσῃ. Ἵππος μὲν γάρ, ὡς ὁρᾷς,
as a-spider's-web you-will-have-reckoned a-horse indeed for as you-see
ὑπερηφανίας κενοδοξία, ἐφ' ἣν ἐπιβέβηκα· ἡ δὲ ὁσία
of-pride vainglory on which I-am-mounted the but holy
ταπείνωσις, καὶ αὐτομεμψία καταγελάσονται ἵππου καὶ
humility and self-blame will-laugh-at (the)-horse and
τοῦ ἐπιβάτου αὐτοῦ· τὴν ἐπινίκιον ᾠδὴν ἐνηδόνως ᾄδουσαι·
the rider its the victory song sweetly singing
Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ
let-us-sing to-the Lord gloriously for he-has-been-glorified horse and
ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν, καὶ ἄβυσσον ταπεινώσεως.
rider he-threw into (the)-sea and (the)-abyss of-humility
4 Εἰκοστὸς τρίτος βαθμός· ὁ ἀναβεβηκὼς ἴσχυσεν, εἴπερ
twenty third step the(-one) having-climbed was-strong if-indeed
ἄρα καὶ ἀναβεβηκέναι δεδύνηται.
then also to-have-climbed has-been-able

XXIII · THOUGHTS OF BLASPHEMY

Pride's worst offspring is blasphemy, a thought hard to confess, which has driven many to despair. It strikes during the holy services and at the moment of the mysteries, and shows that the words are not ours but those of the demon fled from heaven, so no one should hold himself guilty of them. The unclean thoughts rise when prayer begins and vanish when it ends. The way to master them is to despise them and say, "Get behind me, Satan;" to argue with them is to try to seize lightning. The demon haunts simple souls, and those who stop judging their neighbors stop fearing blasphemy. A monk troubled for twenty years gave his thought in writing to an elder, who laid it on his own neck, and the passion vanished before the monk left the cell.

Χαλεπῆς ῥίζης καὶ μητρὸς χαλεπώτατον ἀπόγονον εἶναι
of-a-grievous root and mother most-grievous offspring to-be
ἐν τοῖς φθάσασιν ἀκηκόαμεν, λέγω δὴ τῆς μιαρᾶς
in the(-things) preceding we-have-heard I-mean indeed of-the foul
ὑπερηφανίας ἄῤῥητον τῆς βλασφημίας ἀπόγονον· διὸ
pride (the)-unspeakable of-the blasphemy offspring therefore
ἀναγκαῖον αὐτὸν εἰς μέσον ἀχθῆναι· οὐ γὰρ τῶν τυχόντων,
necessary it into (the)-open to-be-brought not for of-the ordinary
ἀλλά γε καὶ πολὺ πάντων χαλεπώτερος ἐχθρὸς καὶ
but at-least also much than-all more-grievous enemy and
πολέμιος καθέστηκε, καὶ τὸ δὴ χαλεπώτερον οὐδὲ
foe it-is and the indeed more-grievous not-even
εὐχερῶς ἐκφρασθῆναι καὶ ἐξομολογηθῆναι, ἢ στηλιτευθῆναι
easily to-be-expressed and to-be-confessed or to-be-exposed
πνευματικῷ ἰατρῷ δυνάμενος. Διὸ καὶ πολλοῖς πολλάκις
to-a-spiritual physician able therefore also in-many often
ἀπόγνωσιν καὶ ἀνελπιστίαν ἐγέννησεν· ὥσπερ σκώληξ ἐν
despair and hopelessness it-begot like a-worm in
ξύλῳ, πᾶσαν αὐτῶν τὴν ἐλπίδα ἐξαναλώσας ὁ ἀνόσιος.
wood all their the hope having-consumed the unholy(-one)

Οὗτος τοίνυν, οὗτος ὁ παμμίαρος φιλεῖ πολλάκις παρ᾽
this therefore this the all-foul(-one) loves often during
αὐτὰς τὰς ἁγίας συνάξεις, καὶ κατ᾽ αὐτὴν τὴν φρικτὴν τῶν
the-very the holy services and at the-very the awesome of-the
μυστηρίων ὥραν δυσφημεῖν τὸν Κύριον, καὶ τὰ τελούμενα
mysteries hour to-revile the Lord and the performed
ἅγια. Ὅθεν μάλιστα καὶ μανθάνομεν σαφῶς μὴ οὖσαν
holy(-things) whence especially also we-learn clearly not being
τὴν ἡμετέραν ψυχὴν τὴν τὰ ἄθεσμα, καὶ ἀκατάληπτα
the our soul the(-one) the lawless and incomprehensible
ἐκεῖνα, καὶ ἄῤῥητα λόγια ἔνδοθεν φθεγξαμένην· ἀλλὰ τὸν
those and unspeakable oracles within having-uttered but the
μισόθεον δαίμονα τὸν ἐκ τῶν οὐρανῶν δραπετεύσαντα·
God-hating demon the(-one) from the heavens having-fled
διὰ τὸ κἀκεῖ τὸν Κύριον βλασφημίας τῷ δοκεῖν
because-of the and-there the Lord blasphemies in-the seeming
βαλεῖν. Εἰ γὰρ ἐμοὶ οἱ ἄσεμνοι ἐκεῖνοι καὶ ἀπρεπεῖς
to-have-cast if for mine the indecent those and unseemly
λόγοι, πῶς τὸ δῶρον δεξάμενος προσκυνῶ; Πῶς λοιδορεῖν
words how the gift having-received do-I-worship how to-revile
καὶ εὐλογεῖν δύναμαι; Πολλοὺς ὁ ἀπατεὼν οὗτος καὶ
and to-bless can-I many the deceiver this and
ψυχοφθόρος εἰς ἔκστασιν φρενῶν ἤγαγε πολλάκις· οὐδεὶς
soul-destroyer into derangement of-wits led often no
γὰρ ἕτερος λογισμὸς οὕτως δυσεξαγόρευτος, ὡς αὐτὸς
for other thought so hard-to-confess as it
καθέστηκε· διὸ πολλάκις τοῖς πολλοῖς καὶ συνεγήρασεν.
is therefore often with-the many even it-grew-old
Οὐδὲν γὰρ οὕτως τοῖς δαίμοσι καὶ τοῖς λογισμοῖς ἰσχὺν
nothing for so to-the demons and the thoughts strength
καθ᾽ ἡμῶν δίδωσιν, ὡς τὸ τούτους ἀνεξαγορεύτους ἐν τῇ
against us gives as the them unconfessed in the

καρδίᾳ σιτίζεσθαι καὶ ἀποκρύπτεσθαι· μηδεὶς ἐπὶ λογισμοῖς
heart to-be-fed and to-be-hidden let-no-one for thoughts
βλασφημίας αὐτὸν αἴτιον εἶναι λογίσοιτο· καρδιογνώστης
of-blasphemy himself responsible to-be reckon knower-of-hearts
γάρ ἐστιν ὁ Κύριος, καὶ ἐπίσταται, οὐχ ἡμῶν, ἀλλὰ
for is the Lord and knows not ours but
τῶν ἐχθρῶν ἡμῶν εἶναι τὰ τοιαῦτα ῥήματα. Τὸ μεθύειν
of-the enemies our to-be the such words the to-be-drunk
αἴτιον τοῦ προσκόπτειν· καὶ τὸ ὑπερηφανεύεσθαι, αἴτιον
cause of-the stumbling and the to-be-proud cause
τῶν ἀπρεπῶν λογισμῶν, καὶ ἐκ μὲν τοῦ προσκόπτειν
of-the unseemly thoughts and from indeed the stumbling
ἀναίτιος ὁ προσκόψας, ἐκ δὲ τοῦ μεθύειν πάντως
blameless the(-one) having-stumbled from but the being-drunk surely
τιμωρηθήσεται. Ἐν προσευχῇ σταθέντων ἡμῶν οἱ
will-be-punished in prayer having-stood us the
ἀκάθαρτοι καὶ ἄῤῥητοι λογισμοὶ ἐκεῖνοι ἐπανέστησαν·
unclean and unspeakable thoughts those rose-up
καὶ τὴν προσευχὴν πληρωσάντων, εὐθέως ὑπεχώρησαν·
and the prayer having-finished immediately withdrew
τοῖς γὰρ μὴ μαχομένοις αὐτοῖς οὐ φιλοῦσι μάχεσθαι.
with-those for not fighting them not they-love to-fight
Οὐ μόνον τὸ Θεῖον, καὶ τὰ θεῖα πάντα ὁ ἄθεος
not only the Divine and the divine(-things) all the godless(-one)
βλασφημεῖ, ἀλλὰ αἰσχροτάτους τινὰς καὶ ἀπρεπεῖς λόγους
blasphemes but most-shameful certain and unseemly words
ἐν ἡμῖν φθέγγεται· ἵνα ἢ τὴν προσευχὴν καταλείψωμεν,
in us utters that either the prayer we-may-abandon
ἢ ἑαυτῶν ἀπογνῶμεν· πολλοὺς μὲν τῆς προσευχῆς
or of-ourselves despair many indeed from-the prayer
ἀνέκοψε, πολλοὺς δὲ τῶν μυστηρίων ἀπεχώρησε· τινῶν
he-cut-off many and from-the mysteries drove-away of-some

μὲν τὰ σώματα τῇ λύπῃ κατέτηξεν· ἄλλους δὲ διὰ
indeed the bodies with-the grief he-wasted others and through
νηστείας δεδάμακεν ὁ πονηρὸς οὗτος καὶ ἀπάνθρωπος
fasting has-subdued the wicked this and inhuman
τύραννος· καὶ οὐδεμίαν αὐτῆς τὴν ἄνεσιν δέδωκεν· οὐ
tyrant and no its the respite has-given not
μόνον τοῖς κατὰ κόσμον, ἀλλὰ καὶ τοῖς τὸν μοναδικὸν
only to-those in (the)-world but also to-those the monastic
βίον μετερχομένοις τοῦτο ἀπεργασάμενος, μηδεμίαν αὐτοῖς
life pursuing this having-done no to-them
λοιπὸν σωτηρίαν ἔχειν ὑποτιθέμενος, ἀλλὰ καὶ ἀπίστων
thereafter salvation to-have suggesting but also than-unbelievers
καὶ Ἑλλήνων πάντων ἐλεεινοτέρους εἶναι ἀποφαινόμενος.
and Pagans all more-pitiable to-be declaring

6 Ὁ πνεύματι βλασφημίας ὀχλούμενος, καὶ τούτου
the(-one) by-(the)-spirit of-blasphemy troubled and from-it
ἀπαλλαγῆναι βουλόμενος ἐπιγνώτω ἀκριβῶς, μὴ τὴν
to-be-freed wishing let-him-recognize exactly not the
ψυχὴν τὴν ἑαυτοῦ αἴτιον εἶναι τῶν τοιούτων λογισμῶν,
soul the own cause to-be of-the such thoughts
ἀλλὰ αὐτὸν ἀκάθαρτον δαίμονα, τόν ποτε πρὸς Κύριον
but the-very unclean demon the(-one) once to (the)-Lord
λέγοντα· Ταῦτα πάντα σοι δώσω, εἰ ἂν πεσὼν
saying these(-things) all to-you I-will-give if — having-fallen
προσκυνήσῃς μοι. Διὸ καὶ ἡμεῖς ἐξουθενοῦντες αὐτόν,
you-worship me therefore also we despising him
καὶ μηδόλως τὰ παρ᾽ αὐτοῦ λογιζόμενα εἰς μέτρον
and in-no-way the(-things) from him thought into account
ἔχοντες, εἴπωμεν· Ὕπαγε ὀπίσω μου, Σατανᾶ, Κύριον τὸν
taking let-us-say get behind me Satan (the)-Lord —
Θεόν μου προσκυνήσω, καὶ αὐτῷ μόνῳ λατρεύσω. Σοῦ δὲ
God my I-will-worship and him alone I-will-serve your and

ἐπιστρέψει ὁ πόνος καὶ ὁ λόγος ἐπὶ τὴν κεφαλήν σου,
will-return the toil and the word upon the head your
καὶ ἐπὶ τὴν κορυφήν σου, ἡ βλασφημία σου καταβήσεται
and upon the crown your the blasphemy your will-come-down
ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι· ὁ ἐκτὸς
in the present and in the coming age the(-one) outside
τοῦ προειρημένου τρόπου τὸν τῆς βλασφημίας δαίμονα
the aforesaid way the of-the blasphemy demon
παλαῖσαι βουλόμενος, ὅμοιός ἐστι τῷ ἐν ταῖς αὐτοῦ
to-wrestle wishing like is to-the(-one) in the his
χερσὶν ἀστραπὴν κατασχεῖν δοκιμάζοντι· πῶς γὰρ καὶ
hands lightning to-hold trying how for even
καταλήψεται, ἢ ἀντείπῃ, ἢ παλαίσῃ τῷ ἐξαίφνης ἐν
will-be-seize or contradict or wrestle with-the(-one) suddenly in
τῇ καρδίᾳ δίκην ἀνέμου παρερχομένῳ καὶ ῥοπῆς, τάχιστα
the heart like wind passing and an-instant most-quickly
τὸν λόγον λέγοντι, καὶ εὐθέως ἀφαντουμένῳ; Πάντες
the word saying and immediately vanishing all
γὰρ οἱ πολέμιοι καὶ ἵστανται, καὶ προσπαλαίουσι, καὶ
for the enemies both stand and grapple and
χρονίζουσι, καὶ καιρὸν παρέχουσι τῷ κατ᾽ αὐτῶν
linger and time give to-the(-one) against them
παλαίειν βουλομένῳ· οὗτος δὲ οὔ, ἀλλὰ ἅμα τοῦ
to-wrestle wishing this but not but at-once with-the
φανῆναι ἀπέστη, καὶ ἅμα τοῦ προσλαλῆσαι παρῆλθε.
appearing withdrew and at-once with-the speaking passed-by
Πολλάκις ἐν τῇ τῶν ἁπλουστέρων ἀκεραιοτέρων διανοίᾳ ὁ 7
often in the of-the simpler purer mind the
τοιοῦτος δαίμων φιλοχωρεῖν εἴωθε, οἵτινες καὶ μάλιστα
such demon to-linger is-accustomed who also most
σφοδροτέρως τῶν ἄλλων θορυβοῦνται καὶ ταράττονται.
more-vehemently than-the others are-troubled and disturbed

Ἐν οἷς καὶ λέγομεν κυρίως, οὐκ ἐξ οἰήσεως, ἀλλ᾽ ἐκ
in whom also we-say properly not from conceit but from
φθόνου τῶν δαιμόνων τὸ πᾶν γίνεσθαι. Τοῦ κρίνειν
envy of-the demons the whole to-happen from-the to-judge
καὶ τοῦ κατακρίνειν τὸν πλησίον παυσώμεθα, καὶ
and from-the to-condemn the neighbor let-us-cease and
λογισμοὺς βλασφημίας οὐ φοβηθησόμεθα· ἀφορμὴ γὰρ καὶ
thoughts of-blasphemy not we-will-fear occasion for and
ῥίζα τοῦ δευτέρου τὸ πρότερον. Ὥσπερ ὁ ἐν οἴκῳ
root of-the second the first as the(-one) in a-house
κατακεκλεισμένος ὑπάρχων τῶν ἔξω παριόντων τοὺς
shut-up being of-those outside passing the
λόγους ἀκούει, αὐτὸς τούτους μὴ φθεγγόμενος· οὕτω καὶ
words hears himself them not uttering thus also
ἡ ψυχὴ ἐν ἑαυτῇ διάγουσα, τὰς τοῦ δαίμονος βλασφημίας
the soul in itself dwelling the of-the demon blasphemies
ἀκροωμένη ταράττεται, ἅπερ φθέγγεται δι᾽ αὐτῆς
hearing is-disturbed which he-utters through it
παρερχόμενος. Ὁ ἐξουθενώσας τοῦτον, τοῦ πάθους
passing the(-one) having-despised him from-the passion
ἠλευθέρωται· ὁ δὲ ἄλλως αὐτῷ παλαίειν σοφιζόμενος,
has-been-freed the(-one) but otherwise with-him to-wrestle contriving
εἰς τέλος ὑπόκειται· ὁ γὰρ λόγοις πνεύματα κρατῆσαι
to (the)-end is-subject the(-one) for with-words spirits to-master
βουλόμενος, ὅμοιός ἐστι τῷ ἀνέμους ἐγκλείοντι.
wishing like is to-the(-one) winds shutting-in

8 Μοναχὸς σπουδαῖος ὑπὸ τούτου ὀχλούμενος τοῦ δαίμονος
a-monk earnest by this troubled the demon
ἐπὶ εἰκοστὸν ἔτος τὰς ἑαυτοῦ σάρκας νηστείαις καὶ
for twentieth year the own flesh with-fasts and
ἀγρυπνίαις κατέτηξε. Καὶ ὡς οὐδεμιᾶς ὠφελείας ᾔσθετο
vigils wasted and when no benefit he-perceived

ἀπελθὼν καὶ τὸ πάθος ἐν χάρτῃ γεγραφώς, ἁγίῳ τινὶ
having-gone-away and the passion on paper having-written to-a-holy certain
ἀνδρὶ ἐπέδωκεν, ἐπὶ πρόσωπον κείμενος καὶ πρὸς αὐτὸν
man gave(-it) on (his)-face lying and to him
ἀνανεύειν μὴ δυνάμενος. Ὡς δὲ ἀνέγνω ὁ γέρων, ἐμειδίασε,
to-look-up not able when and read(-it) the elder he-smiled
καὶ ἀναστήσας τὸν ἀδελφὸν λέγει αὐτῷ· Ἐπίθες, τέκνον, τὴν
and having-raised the brother says to-him put child the
σὴν χεῖρα ἐπὶ τὸν ἐμὸν αὐχένα. Καὶ ὡς τοῦτο ὁ ἀδελφὸς
your hand on the my neck and when this the brother
πεποίηκε, λέγει ὁ μέγας· Ἐπὶ τὸν ἐμὸν τράχηλον, ἀδελφέ,
had-done says the great(-man) on the my neck brother
ἡ ἁμαρτία αὕτη, ὅσα ἔτη καὶ πεποίηκε, καὶ ποιήσει ἐν
the sin this as-many years both it-has-worked and will-work in
σοί, μόνον σὺ αὐτὴν εἰς μέτρον μηκέτι ἔχε. Καὶ διεβεβαιοῦτο
you only you it into account no-longer take and affirmed
ὁ τοιοῦτος, ὡς οὐ πρώην τῆς κέλλης τοῦ γέροντος
the such(-man) that not yet from-the cell of-the elder
ἐξεληλύθει, ἕως οὗ τὸ πάθος θᾶττον ἄφαντον γέγονεν· τούτου
he-had-come-out until — the passion quickly vanished became of-this
ἐν πείρᾳ γενόμενος ἐμοὶ διηγήσατο εὐχαριστῶν τῷ Χριστῷ.
in experience having-been to-me he-related thanking — Christ
Νίκην τοῦ πάθους ὁ εἰληφὼς ἀπώσατο ὑπερηφανίαν. 9
victory over-the passion the(-one) having-received thrust-away pride

Meekness runs before humility as morning light before the sun, and must be learned first. It is a mind unmoved in honor and dishonor, a rock above the sea of temper, the mother of love, and the dwelling of the Holy Spirit; the meek are filled with knowledge. Simplicity is an unvaried habit of soul, guilelessness a cheerful state free of scheming, and wickedness a demonic knowledge; the wicked man is the devil's namesake, so the Lord taught us to pray to be delivered from the evil one. Adam kept his simplicity while he did not see his nakedness, but simplicity grafted by toil onto wickedness is higher than simplicity by nature, for it bears humility. Paul the Simple is its pattern, and a fall has often taught the clever innocence.

1 Προτρέχει μὲν τοῦ ἡλίου τὸ πρωϊνὸν φῶς, πάσης δὲ
runs-before indeed the sun the morning light of-all and
ταπεινοφροσύνης πραΰτης πρόδρομος· διὸ καὶ τοῦ φωτὸς
humility meekness forerunner therefore also the light
ἀκούσωμεν, οὕτως αὐτὰς τῷ βαθμῷ κατατάττοντος·
let-us-hear thus them in-the step arranging
Μάθετε γὰρ ἀπ' ἐμοῦ, φησί, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ
learn for from me he-says that meek I-am and humble in-the
καρδίᾳ. Οὐκοῦν θέμις πρὸ ἡλίου περὶ φωτὸς φωτισθῆναι·
heart therefore (it-is)-right before (the)-sun about light to-be-illumined
εἶθ' οὕτως τῷ ἡλίῳ ἐνατενίσαι τρανῶς. Οὐκ ἔστι γάρ,
then thus at-the sun to-gaze clearly not it-is-possible for
οὐκ ἔστι τὸν μὴ τοῦτο προγνόντα, ἐκεῖνον θεάσασθαι,
not it-is-possible the(-one) not this having-first-known that to-behold
ὡς ἡ τῶν λεγομένων διδάσκει ἀληθὴς κατάστασις. Πραΰτης
as the of-the (things)-said teaches true state meekness
ἐστὶν ἀμετάθετος νοὸς κατάστασις, ἐν τιμαῖς καὶ ἀτιμίαις
is an-unchanging of-mind state in honors and dishonors
ὡσαύτως ἔχουσα. Πραΰτης ἐστὶν ἐν ταραχαῖς τοῦ πλησίον
alike being meekness is in disturbances of-the neighbor

ἀνεπαισθήτως καὶ εἰλικρινῶς ὑπὲρ αὐτοῦ προσεύχεσθαι.
unfeelingly and sincerely for him to-pray
Πραΰτης ἐστὶν ὑπερκειμένη τῆς τοῦ θυμοῦ θαλάττης πέτρα,
meekness is standing-above the of-the temper sea a-rock
πάντα τὰ προσρήσσοντα κύματα διαλύουσα, καὶ οὐδαμῶς
all the breaking-against(-it) waves dissolving and in-no-way
κλόνον ὑπομένουσα. Πραΰτης ἐστὶν ὑπομονῆς στήριγμα,
shaking enduring meekness is of-patience support
ἀγάπης θύρα, μᾶλλον δὲ μήτηρ, διακρίσεως ὑπόθεσις·
of-love door rather but mother of-discernment foundation
Διδάξει γάρ, φησί, Κύριος πραεῖς ὁδοὺς αὐτοῦ· ἀφέσεως
will-teach for he-says (the)-Lord (the)-meek ways his of-forgiveness
πρόξενος· παῤῥησία ἐν προσευχῇ· Πνεύματος ἁγίου χωρίον·
cause boldness in prayer of-(the)-Spirit holy dwelling
Ἐπὶ τίνας γὰρ ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ
on whom for will-I-look but — on the meek and
ἡσύχιον; Πραΰτης ὑπακοῆς συνεργός, ἀδελφότητος ὁδηγός,
quiet meekness of-obedience co-worker of-brotherhood guide
μαινομένων χαλινός, θυμουμένων ἐκκοπή, καὶ χαρᾶς
of-(the)-raging bridle of-(the)-enraged cutting-off and of-joy
χορηγός, Χριστοῦ μίμημα, ἀγγέλων ἰδίωμα, δαιμόνων
supplier of-Christ imitation of-angels property of-demons
δεσμός, καὶ πικρίας θυρεός. Ἐν καρδίαις πραέων
bond and against-bitterness shield in hearts of-(the)-meek
ἐπαναπαύσεται Κύριος· ψυχὴ δὲ ταραχώδης διαβόλου
will-rest (the)-Lord a-soul but turbulent of-(the)-devil
καθέδρα. Οἱ πραεῖς κληρονομήσουσι γῆν· μᾶλλον δὲ
seat the meek will-inherit (the)-earth rather but
κατακυριεύσουσι γῆς· μεμηνότες δὲ ἄνδρες ἐκπορθοῦνται
will-master (the)-earth raging but men are-driven-out
ἀπὸ γῆς αὐτῶν. Ψυχὴ πραεῖα θρόνος ἁπλότητος· νοῦς δὲ
from land their a-soul meek throne of-simplicity a-mind but

ὀργίλος δημιουργὸς πονηρίας. Ψυχὴ ἠπία χωρήσει λόγους
angry maker of-wickedness a-soul gentle will-hold words
σοφίας, Ὁδηγήσει γὰρ Κύριος πραεῖς ἐν κρίσει, μᾶλλον
of-wisdom will-guide for (the)-Lord (the)-meek in judgment rather
δὲ ἐν διακρίσει. Ψυχὴ εὐθὴς σύμβιος ταπεινώσεως· ἡ δὲ
but in discernment a-soul upright companion of-humility the but
πονηρὰ ὑπερηφανίας νεανίς. Ψυχαὶ πραέων πλησθήσονται
wicked of-pride handmaid souls of-(the)-meek will-be-filled
γνώσεως· θυμώδης δὲ νοῦς σκότους καὶ ἀγνωσίας
with-knowledge a-hot-tempered but mind of-darkness and of-ignorance
σύνοικος. Θυμώδης καὶ εἴρων ἀλλήλοις ὑπήντησαν·
housemate a-hot-tempered(-man) and a-dissembler each-other met
καὶ οὐκ ἦν εὑρεῖν λόγον εὐθῆ ἐν διαλέξει αὐτῶν.
and not it-was-possible to-find (a)-word straight in conversation their
Ἀναπτύξας τὴν καρδίαν τοῦ προτέρου, εὑρήσεις μανίαν,
having-opened the heart of-the former you-will-find madness
τὴν δὲ τοῦ δευτέρου ψυχὴν ἐρευνήσας, θεωρήσεις πονηρίαν.
the and of-the second soul having-searched you-will-see wickedness
Ἁπλότης ἐστὶν ἕξις ψυχῆς ἀποίκιλος, πρὸς κακόνοιαν
simplicity is a-habit of-soul unvaried toward malice
γενομένη ἀκίνητος. Πονηρία ἐστὶν ἐπιστήμη, μᾶλλον
become immovable wickedness is knowledge rather
δὲ ἀσχημοσύνη δαιμονιώδης, ἀληθείας ἀποστερηθεῖσα,
but disgrace demonic of-truth deprived
καὶ τοὺς πολλοὺς λανθάνειν δοκοῦσα. Ὑπόκρισίς ἐστι
and the many to-escape thinking hypocrisy is
σώματος καὶ ψυχῆς ἐναντία κατάστασις ἐπινοίαις ἁπάσαις
of-body and of-soul contrary state with-schemes all
ἐμπεπλεγμένη· ἀκακία ἐστὶν ἱλαρὰ ψυχῆς κατάστασις
entwined innocence is a-cheerful of-soul state
ἐπινοίας πάσης ἀπηλλαγμένη. Εὐθύτης ἐστὶν ἀπερίεργος
from-scheming all freed uprightness is unmeddling

ἔννοια, ἀνόθευτον ἦθος, ἄπλαστος καὶ ἀπροκατασκεύαστος
thought unadulterated character unfeigned and unrehearsed
λόγος· ἀπόνηρός ἐστι καθαρὰ φύσις ψυχῆς, ὡς
speech (the)-guileless(-one) is pure nature of-soul as
πέφυκε κτισθεῖσα τὰς ἐντεύξεις πρὸς πάντας ποιουμένη.
it-was created the dealings with all making
Πονηρία ἐστὶν εὐθύτητος ἐναλλαγή, πεπλανημένη ἔννοια·
wickedness is of-uprightness perversion a-deluded thought
οἰκονομίας ψευδομένη· κεκολασμένοι ὅρκοι, συμπεπλεγμένοι
of-dispensation feigning punishable oaths entangled
λόγοι· βυθὸς καρδίας, ἄβυσσος δόλου, πεποιωμένον
words a-depth of-heart an-abyss of-guile ingrained
ψεῦδος, φυσικὴ λοιπὸν οἴησις, ταπεινώσεως ἀντίπαλος,
falsehood natural thereafter conceit of-humility adversary
μετανοίας ὑπόκρισις, πένθους μικρυσμός, ἐξομολογήσεως
of-repentance hypocrisy of-mourning diminishing of-confession
ἔχθρα, ἰδιογνωμόρυθμος, πτωμάτων πρόξενος, ἀναστάσεως
enmity self-willed of-falls cause to-rising
ἀντίθετος, ὕβρεων μειδιασμός, μεμωραμμένη κατήφεια,
opposed at-insults smiling foolish dejection
ἐπίπλαστος εὐλάβεια, δαιμονιώδης βίος.
feigned piety demonic life
Πονηρός ἐστι διαβόλου συνώνυμος καὶ συνόμιλος. Διὸ 2
a-wicked(-man) is of-(the)-devil namesake and companion therefore
καὶ Κύριος οὕτως αὐτὸν ἡμᾶς ὀνομάζειν ἐδίδαξε λέγοντας·
also (the)-Lord thus him us to-name taught saying
Ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Φύγωμεν ἀπὸ κρημνοῦ
deliver us from the evil(-one) let-us-flee from (the)-cliff
ὑποκρίσεως, καὶ ἀπὸ λάκκου ὑπουλότητος, ἀκούοντες τοῦ
of-hypocrisy and from (the)-pit of-deceit hearing the(-one)
λέγοντος ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται, καὶ
saying that those acting-wickedly will-be-destroyed and

ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. Οἱ γὰρ τοιοῦτοι
like herbs of-grass quickly will-fall-away the for such(-men)
βοσκὴ δαιμόνων. Ὥσπερ ἀγάπη ὁ Θεὸς ὀνομάζεται, οὕτως
pasture of-demons as love — God is-named thus
καὶ εὐθύτης. Διὸ ὁ σοφὸς ἐν τοῖς Ἄσμασί φησι πρὸς
also uprightness therefore the wise(-man) in the Songs says to
τὴν καθαρὰν καρδίαν· Εὐθύτης ἠγάπησέ σε. Καὶ πάλιν ὁ
the pure heart uprightness loved you and again the
τούτου πατήρ· Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος. Καὶ τοὺς
his father good and upright the Lord and the(-ones)
συνωνύμους αὐτοῦ σώζεσθαι λέγει· φησὶ γάρ· Τοῦ
named-like him to-be-saved he-says he-says for of-the(-one)
σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. Καὶ πάλιν· Εὐθύτητας
saving the upright in-the heart and again uprightnesses
ψυχῶν εἶδε, καὶ ἐπεσκέψατο τὸ πρόσωπον αὐτοῦ. Πρῶτον
of-souls saw and visited the face his first
ἰδίωμα τῆς τῶν παίδων αὐξήσεως, ἁπλότης ἀποίκιλος, ἣν
property of-the of-the children growth simplicity unvaried which
ἕως εἶχεν Ἀδὰμ ἐκεῖνος, οὐκ εἶδε γύμνωσιν ψυχῆς αὐτοῦ·
while had Adam that not saw nakedness of-soul his
οὐδὲ ἀσχημοσύνην σαρκὸς αὐτοῦ. Καλὴ μὲν καὶ ἡ φύσει
nor shame of-flesh his good indeed also the by-nature
τισὶν ἐνυπάρχουσα ἁπλότης, καὶ μακαρία· οὐχ οὕτως δέ, ὡς
in-some existing simplicity and blessed not so but as
ἡ ἐκ πονηρίας δι' ἱδρώτων κατεγκεντρισθεῖσα· ἡ
the(-one) from wickedness through sweats grafted-in the-one
μὲν γὰρ ἀπὸ πολλῆς ποικιλίας καὶ παθῶν σκέπεται· ἡ
indeed for from much wiliness and passions is-sheltered the-other
δὲ ὑψηλοτάτης ταπεινοφροσύνης καὶ πραότητος γίνεται
and of-highest humility and meekness becomes
πρόξενος· καὶ τῇ μὲν οὐ πολὺς ὁ μισθός, τῇ δὲ
cause and for-the-one indeed not much the reward for-the-other and

ὑπερύμνητος. Πάντες οἱ τὸν Κύριον ἑαυτοῖς ἐπισπάσασθαι
highly-praised all those the Lord to-ourselves to-draw
βουλόμενοι, ἁπλῶς καὶ ἀπλάστως, καὶ ἀποικίλως, καὶ
wishing simply and unfeignedly and without-wiles and
ἀπονήρως ὡς διδασκάλῳ ἐν τοῖς μαθήμασιν ἀπεριέργως
without-malice as to-a-teacher in the lessons without-curiosity
προσέλθωμεν. Ἁπλοῦς γὰρ ὤν, καὶ ἀσύνθετος, ἁπλᾶς
let-us-approach simple for being and uncompounded simple
τινας καὶ ἀκεραίους τὰς ἑαυτῷ προσερχομένας ψυχὰς
certain and pure the to-him approaching souls
εἶναι βούλεται. Οὐκ ἔστι γὰρ ἁπλότητα ἀπηλλαγμένην
to-be he-wishes not it-is-possible for simplicity freed
ταπεινώσεως θεάσασθαί ποτε. Πονηρός ἐστι προβλέπτης,
from-humility to-behold ever a-wicked(-man) is a-seer
ψευδὴς ἐκ λόγων τοὺς λογισμούς, καὶ ἐκ σχημάτων
false from words the thoughts and from gestures
τὰ ἐγκάρδια λαμβάνειν φανταζόμενος· εἶδον εὐθεῖς
the secrets-of-the-heart to-grasp imagining I-saw upright(-men)
ἐκ πονηρῶν πονηρεύεσθαι μεμαθηκότας, καὶ πεφάντασμαι
from wicked(-men) to-act-wickedly having-learned and I-have-wondered
πῶς καὶ φύσεως ἰδίωμα καὶ προτέρημα οὕτως ταχέως
how both of-nature property and advantage thus quickly
ἀπολέσαι ἴσχυσαν. Ὅσα οἱ εὐθεῖς εὐχερῶς μεταπίπτουσι,
to-lose they-could as-much the upright easily change
τοσούτῳ δυσχερῶς οἱ ἐναντίοι μεταποιηθῆναι δύνανται.
so-much with-difficulty the opposite to-be-changed can
Ξενιτεία ἀληθὴς καὶ ὑποταγή, καὶ φυλακὴ χειλέων πολλὰ
exile true and submission and guarding of-lips much
πολλάκις ἴσχυσαν καὶ μετεποίησαν παραδόξως ἀνίατα.
often availed and transformed wonderfully incurable(-things)
Εἰ ἡ γνῶσις φυσιοῖ τοὺς πλείονας· μή πως ἡ ἰδιωτεία,
if the knowledge puffs-up the most not perhaps the plainness

καὶ ἡ ἀμαθία ταπεινοῦν συμμέτρως πέφυκεν. Ἀπόδειξις καὶ
and the ignorance to-humble moderately is-wont proof and
ὅρος ἐναργὴς καὶ τύπος ἡμῖν τῆς μακαρίας ἁπλότητος
definition clear and model for-us of-the blessed simplicity
ὁ τρισμακάριος Παῦλος γέγονεν ὁ ἁπλοῦς. Οὐδεὶς γάρ,
the thrice-blessed Paul has-become the simple no-one for
οὐδεὶς οὐδαμοῦ τοιαύτην προκοπὴν ἐν ὀλίγῳ οὐδὲ εἶδεν,
no-one anywhere such progress in little(-time) neither saw
οὐδὲ ἤκουεν, οὐδὲ ἰδεῖν δύναται πώποτε. Ἁπλοῦς μοναχός,
nor heard nor to-see can ever a-simple monk
ἄλογον λογικόν, ὑπήκοον, τὸ οἰκεῖον φορτίον
an-irrational(-animal) rational obedient the own burden
τελείως τῷ ἄγοντι ἀποθέμενος. Οὐκ ἀντείπει ζῷον
completely on-the(-one) leading having-put-down not will-contradict an-animal
τῷ δεσμοῦντι· οὐδὲ ψυχὴ εὐθὴς τῷ ἐπιστατοῦντι·
the(-one) binding nor a-soul upright the(-one) presiding
ἕπεται τῷ ἕλκοντι ὡς βούλεται, καὶ μέχρι θύσεως
it-follows the(-one) drawing as he-wishes and to slaughter
ἀντιλέγειν οὐκ ἐπίσταται. Δυσκόλως πλούσιοι εἰς βασιλείαν,
to-contradict not knows with-difficulty (the)-rich into (the)-kingdom
καὶ φρόνιμοι ἄφρονες εἰς ἁπλότητα εἰσελεύσονται. Πτῶμα
and (the)-prudent foolish into simplicity will-enter a-fall
πολλάκις δεινοὺς ἐσωφρόνισεν, ἀκούσιον αὐτοῖς σωτηρίαν
often clever(-men) sobered involuntary to-them salvation
καὶ ἀκακίαν κεχαρισμένον. Πάλαιε πλανᾷν σου τὴν
and innocence having-granted wrestle to-lead-astray your the
φρόνησιν, καὶ οὕτως ποιῶν εὑρήσεις σωτηρίαν, καὶ
prudence and thus doing you-will-find salvation and
εὐθύτητα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.
uprightness in Christ Jesus the Lord our amen

To describe humility in words is to teach honey's sweetness to those who have never tasted it. Those led by the Spirit gather to read its inscription, and each defines it differently; John, gathering their crumbs, calls it a nameless grace of the soul, learned from Christ, meek and humble in heart. Repentance, mourning, and humility differ as leaven and flour from bread, yet are one three-stranded chain, marked by glad acceptance of dishonor, the death of temper, and distrust of one's own goods. Demons praised a wise brother, who answered that their going made him great and their staying made him humble. A monk wrote the virtues' names on his cell wall to answer his praising thoughts. Humility is an abyss no thief can reach.

Ὁ ἀγάπης Κυρίου κυρίως, καὶ ταπεινοφροσύνης 1
the(-one) of-love of-(the)-Lord properly and of-humility
πρεπόντως, καὶ μακαρίας ἁγνείας ἀληθῶς, καὶ ἐλλάμψεως
fittingly and of-blessed purity truly and of-illumination
Θεοῦ ἐναργῶς, καὶ φόβου αὐτοῦ ἀψευδῶς, καὶ πληροφορίας
of-God clearly and of-fear his unfeignedly and of-assurance
καρδίας εἰλικρινῶς αἴσθησιν καὶ ἐνέργειαν διὰ λόγου
of-heart sincerely (the)-perception and working through speech
ὁρατοῦ διηγεῖσθαι βουλόμενος, καὶ τοὺς ταύτης ἀγεύστους
visible to-describe wishing and those of-it untasting
ἐν ἐξηγήσεσι περὶ τῶν τοιούτων φωτίζειν δοκῶν,
in explanations about the such(-things) to-enlighten thinking
ὅμοιόν τι ποιεῖ ἀνδρί, τῷ τοὺς μὴ γευσαμένους
like something does to-a-man the(-one) those not having-tasted
μέλιτος πώποτε τὴν τούτου γλυκύτητα διὰ λόγων, καὶ
honey ever the its sweetness through words and
ὑποδειγμάτων διδάσκειν θέλοντι. Ἀλλ' ὁ μὲν δεύτερος εἰς
examples to-teach wishing but the indeed second in
μάτην φιλολογεῖ, ἵνα μὴ εἴπω βαττολογεῖ· ὁ δὲ πρότερος,
vain talks that not I-say babbles the and former

ἢ ἄπειρος τῆς ἑαυτοῦ διηγήσεως κατέστηκεν, ἢ ὑπὸ
either inexperienced of-the own account is or by
κενοδοξίας ὀξέως ἐμπαίζεται. Προέθηκεν ὁ λόγος θησαυρὸν
vainglory sharply is-mocked set-forth the discourse a-treasure
εἰς βάσανον ἐν ὀστρακίνοις σκεύεσι, μᾶλλον δὲ σώμασι,
for testing in earthen vessels rather but bodies
κατησφαλισμένον ὑπάρχοντα, παντὶ λόγῳ τῇ ποιότητι
secured being to-every word in-the quality
ἀγνώριστον διαμένοντα, μόνην δὲ τὴν ἄνωθεν ἐπιγραφὴν
unknowable remaining only and the from-above inscription
ἀκατάληπτον περικείμενον πολλὴν καὶ ἀπέραντον τοῖς
incomprehensible bearing much and endless to-those
λόγῳ ζητοῦσι τὴν ἔρευναν, καὶ τὸν μόχθον παρέχουσαν.
by-reason seeking the search and the toil providing
Εἶχε δὲ ἡ λέξις οὕτως· Ἡ ἁγία ταπείνωσις. Ὅσοι
had and the wording thus the holy humility as-many-as
Πνεύματι Θεοῦ ἄγονται, οὗτοι ἡμῖν εἰς τὸ νοερὸν τοῦτο
by-(the)-Spirit of-God are-led these with-us into the spiritual this
καὶ πάνσοφον συνεισιέτωσαν συνέδριον, πλάκας γνώσεως
and all-wise let-them-come-in council tablets of-knowledge
θεογράφους σὺν αὐτοῖς μετὰ χεῖρας νοερὰς ἐπιφερόμενοι·
God-written with them in hands spiritual carrying
καὶ συνελθύθαμεν καὶ συνεζητήκαμεν, καὶ βεβασανίκαμεν
and we-have-come-together and have-inquired and have-tested
τῆς τιμίας ἐπιγραφῆς τὴν δύναμιν. Καὶ ὁ μὲν ἔλεγε
of-the precious inscription the meaning and the-one indeed said
λήθην τῶν κατορθουμένων προσεχῆ· ἕτερος δὲ τὸ πάντων
forgetfulness of-the achievements constant another and the than-all
ἐσχατώτερον καὶ ἁμαρτωλότερον ἑαυτὸν λογίζεσθαι· ἄλλος
lower and more-sinful oneself to-reckon another
ἐπίγνωσιν νοὸς τῆς οἰκείας ἀσθενείας καὶ ἀδυναμίας·
recognition of-mind of-the own weakness and powerlessness

ἕτερος, τὸ προκαταλαμβάνειν τὸν πλησίον ἐν παροργισμοῖς
another the to-anticipate the neighbor in provocations
καὶ λύειν πρῶτον τὴν μῆνιν· ἕτερος πάλιν χάριτος
and to-dissolve first the wrath another again of-(the)-grace
Θεοῦ καὶ συμπαθείας ἐπίγνωσιν· ἄλλος συντετριμμένης
of-God and compassion recognition another of-a-contrite
ψυχῆς αἴσθησιν, καὶ θελήματος οἰκείου ἄρνησιν. Ἐγὼ δὲ
soul perception and of-will own denial I but
πάντων ἀκηκοώς, καὶ ἐν ἑαυτῷ ταῦτα ἐπεσκεμμένως
all having-heard and in myself these(-things) attentively
τε καὶ νηφόντως βεβασανικώς, τὴν μακαρίαν ἐκείνης
both and soberly having-tested the blessed its
αἴσθησιν δι' ἀκοῆς μανθάνειν οὐ δεδύνημαι. Διόπερ
perception through hearing to-learn not I-have-been-able therefore
καὶ ἔσχατος πάντων ὡς κύων ἐκ ψιχίων τραπέζης
also last of-all as a-dog from crumbs of-(the)-table
τῶν γνωστικῶν καὶ μακαρίων ἐκπιπτόντων αὐτῶν τοῦ
of-the knowing and blessed falling their from-the
στόματος συλλελεχὼς περὶ ταύτης ὁριζόμενος εἶπον·
mouth having-gathered about it defining I-said
Ταπεινοφροσύνη ἐστὶ ἀνώνυμος χάρις ψυχῆς, μόνοις
humility is a-nameless grace of-(the)-soul to-those-alone
εὐώνυμος· τοῖς τὴν πεῖραν εἰληφόσιν, ἄφραστος πλοῦτος
well-named to-those the experience having-received unspeakable wealth
Θεοῦ ὀνομασία, καὶ χορηγία. Μάθετε γάρ, φησίν, οὐκ ἀπ'
of-God name and gift learn for he-says not from
ἀγγέλου, οὐκ ἀπ' ἀνθρώπου, οὐκ ἀπὸ δέλτου, ἀλλ' ἀπ'
an-angel not from a-man not from a-book but from
ἐμοῦ, τοῦτ' ἔστιν, ἐκ τῆς ἐμῆς ἐν ὑμῖν ἐνοικειώσεως καὶ
me this is from the my in you indwelling and
ἐλλάμψεως, καὶ ἐνεργείας· ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς
illumination and working that meek I-am and humble

τῇ καρδίᾳ, καὶ τῷ λογισμῷ, καὶ τῷ φρονήματι, καὶ
in-the heart and in-the thought and in-the mind and
εὑρήσετε ἀνάπαυσιν πολέμων, καὶ κουφισμὸν λογισμῶν
you-will-find rest from-wars and relief from-thoughts
ταῖς ψυχαῖς ὑμῶν. Ἄλλη τῆς ὁσίας ταύτης ἀμπέλου ἡ
the toward them visitation of-the Lord let-them-recognize the
δὲ τέλειοι ἐκ τῆς τοῦ Πνεύματος παρουσίας, καὶ τῆς τῶν
and perfect from the of-the Spirit presence and the of-the
χαρισμάτων προσθήκης· ἔστι δαίμων ἐπὰν ἐν τῇ κλίνῃ
gifts increase there-is a-demon when on the bed
ἀναπέσωμεν, πρὸς ἡμᾶς παραγενόμενος, καὶ πονηραῖς
we-lie-down to us coming and with-wicked
ἡμᾶς καὶ ῥυπαραῖς κατατοξεύων ἐνθυμήσεσιν, ἵνα τῇ
us and filthy shooting thoughts that through-the
ὀκνηρίᾳ εἰς προσευχὴν τότε κατ᾽ αὐτοῦ μὴ ὁπλισάμενοι ἐν
sloth to prayer then against him not having-armed in
ῥυπαραῖς ἐννοίαις ἀφυπνώσαντες, ῥυπαρὰ καὶ τὰ ἐνύπνια
filthy thoughts having-fallen-asleep filthy also the dreams
κτησώμεθα. Ἔστιν πνευμάτων, πρόδρομος καλούμενος,
we-may-have there-is of-spirits a-forerunner called
ἐξ ὕπνου ἡμᾶς εὐθέως δεχόμενος, καὶ τὴν πρωτόνοιαν
from sleep us immediately receiving and the first-thought
ἡμῶν καταμολύνων. Δίδου σῆς ἡμέρας ἀπαρχὰς Κυρίῳ.
our defiling give of-your day (the)-first-fruits to-(the)-Lord
Τοῦ γὰρ προποιοῦντος ἔσται. Ἀξιάκουστόν μοι λόγον
of-the(-one) for acting-first it-will-be worth-hearing to-me a-word
ἐργάτης ἄριστος ἔφρασεν. Ἐξ αὐτῆς γάρ, μοὶ ἔφη, τῆς
a-worker excellent told from the-very for to-me he-said the
πρωΐας τὸν ἅπαντά μου δρόμον τῆς ἡμέρας προεπίσταμαι.
morning the whole my course of-the day I-foreknow
Πολλαὶ καὶ τῆς εὐσεβείας καὶ ἀπωλείας αἱ ὁδοιπορίαι·
many both of-the piety and of-destruction the journeys
διόπερ πολλάκις ὁ τῷ ἑτέρῳ ἀντιτασσόμενος, ἄλλῳ
therefore often the(-one) to-the one opposed with-another
γνησίως συνέρχεται, καὶ ὁ τῶν ἀμφοτέρων σκοπός ἐστι
genuinely agrees and the of-the both aim is

Κυρίῳ εὐάρεστος. Παλαίουσι μὲν οἱ δαίμονες ἐπὶ τοῖς
to-(the)-Lord well-pleasing wrestle indeed the demons in the
συμβαίνουσιν ἡμῖν πειρασμοῖς ἢ λέξαι ἡμᾶς ἢ πράξαι
happening to-us temptations either to-say us or to-do
ἄτοπον. Καὶ ὅταν μὴ ἰσχύσωσιν, ἠρέμα ἐπιστάντες
something-monstrous and when not they-prevail quietly standing-by
ὑπερήφανον ἡμῖν εὐχαριστίαν πρὸς Θεὸν ὑποτίθενται· οἱ
a-proud to-us thanksgiving toward God suggest those
μὲν τὰ ἄνω φρονήσαντες, χωριζόμενοι ἄνω μερικῶς
indeed the(-things) above having-minded departing above in-part
ἀνέρχονται· οἱ δὲ τὰ κάτω, κάτω πάλιν πορεύονται·
go-up those and the(-things) below below again go
τῶν γὰρ χωριζομένων οὐδὲν λοιπὸν μέσον ἵσταται. Ἓν τῶν
of-the for departing nothing thereafter between stands one of-the
κτισμάτων ἐν ἑτέρῳ καὶ οὐκ ἐν ἑαυτῷ τὸ εἶναι εἴληφε·
creatures in another and not in itself the being has-received
καὶ θαῦμα πῶς ἐκτὸς τοῦ ἐν ᾧ τὸ εἶναι ἐκομίσατο,
and a-wonder how outside of-that in which the being it-received
συνίστασθαι πέφυκε. Τὰς μὲν εὐσεβεῖς θυγατέρας αἱ
to-subsist it-is-able the indeed pious daughters the
μητέρες τίκτουσι, τὰς δὲ μητέρας ὁ Κύριος, καὶ ἐπὶ τῶν
mothers bear the but mothers the Lord and in the
ἐναντίων τῷ προειρημένῳ κανόνι ὁρίσαι οὐκ ἄσοφον.
opposites by-the aforesaid rule to-define not unwise
Δειλὸς εἰς πόλεμον μὴ ἐξιέτω, Μωυσῆς, μᾶλλον δὲ Θεὸς
a-coward to war not let-go-out Moses rather but God
παρακελεύεται, μήπως γένηται ἡ ἐσχάτη πλάνη τῆς ψυχῆς
commands lest become the last delusion of-the soul
ὑπὲρ τὴν πρώτην πτῶσιν τοῦ σώματος, καὶ εἰκότως.
beyond the first fall of-the body and fittingly

Φῶς μὲν τῶν τοῦ σώματος πάντων ἄρθρων οἱ αἰσθητοὶ
light indeed of-the of-the body all members the bodily
ὀφθαλμοί· φῶς δὲ νοερὸν ἀρετῶν τῶν θείων διάκρισις.
eyes light and spiritual of-virtues the divine discernment

XXVI · DISCERNMENT, 14–19

The section turns to discerning God's will. Some matters must be done at once, others with deliberation. The surest way is to ask the fathers in humility and take their answer as from God's mouth, even from men not very spiritual; others have learned it by praying for set days stripped of preference, or from the troubles or the help that follow a plan. God often hides his will lest we learn it and disobey. The demons urge tasks beyond our strength so that we abandon those within it. Some saints feigned passions to deceive the demons, one entering a brothel to draw a harlot to the ascetic life. A wise man once broke a sinful bond by sowing enmity, and demons offer scriptural interpretation to lead the vainglorious into heresy.

14 Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος φλεγομένη τὰ νάματα,
in-what way longs-for the deer burning the streams
οὕτως παρὰ μοναχοῖς ἐπιποθεῖται ἡ τοῦ θείου καὶ
thus among monks is-longed-for the of-the divine and
ἀγαθοῦ θελήματος κατάληψις· οὐ μὴν δὲ ἀλλὰ καὶ τοῦ
good will grasp not truly and but also of-the
συγκεκραμένου, ἔτι δὲ καὶ τοῦ ἐναντίου ἡ ἐπίγνωσις.
mixed still and also of-the contrary the recognition
Περὶ ὧν πολὺ ἡμῖν ὄντως ὁ λόγος καὶ δυσερμήνευτος·
about which much for-us truly the discourse and hard-to-explain
καὶ ποῖά τε τῶν πραγμάτων, καθ' ἡμᾶς ἀνυπερθέτως
and which both of-the things concerning us without-delay
ὀφείλουσι γίνεσθαι· καὶ πάσης ἀναμονῆς ὀξυτέρως, κατὰ
ought to-be-done and than-all waiting more-swiftly according-to
τὸν λέγοντα· Οὐαὶ ὁ ἀναβαλλόμενος ἡμέραν ἐξ
the(-one) saying woe the(-one) putting-off day from

ἡμέρας, καὶ καιρὸν ἐκ καιροῦ. Ποῖα δὲ πάλιν μετὰ
day and time from time which and again with
ἐπιεικείας καὶ περισκέψεως· ὡς παραινεῖ ὁ εἰρηκώς,
forbearance and circumspection as advises the(-one) having-said
Μετὰ κυβερνήσεως γίνεται πόλεμος, καὶ πάλιν· Πάντα
with guidance is-made war and again all(-things)
εὐσχημόνως, καὶ κατὰ τάξιν γινέσθω. Οὐκ ἔστι γάρ,
decently and in order let-be-done not it-is-possible for
οὐκ ἔστι τῶν τυχόντων τὰ τοιάδε δυσδιάκριτα
not it-is-possible for-the ordinary the such hard-to-discern(-things)
θᾶττον εὐκρινῶς διαγνῶναι, εἴπερ καὶ ὁ θεοφόρος, καὶ τὸ
quickly distinctly to-discern if-indeed even the God-bearer and the
πνεῦμα ἐν ἑαυτῷ λαλοῦν ἔχων, τοῦτο πολλάκις φαίνεται
spirit in himself speaking having this often appears
προσευχόμενος· καὶ ποτὲ μὲν λέγων· Δίδαξόν με τοῦ
praying and sometimes indeed saying teach me the
ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου· ποτὲ δὲ
to-do the will your for you are — God my sometimes and
πάλιν· Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου· καὶ πάλιν·
again guide me in the truth your and again
Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς
make-known to-me Lord (the)-way in which I-shall-walk for to
σὲ ἀπὸ πάσης μερίμνης βιωτικῆς, καὶ πάθους τὴν ψυχήν
you from all care worldly and passion the soul
μου ἦρα καὶ ὕψωσα. Ὅσοι τὸ τοῦ Κυρίου μαθεῖν
my I-lifted and raised as-many-as the of-the Lord to-learn
ἠβουλήθησαν θέλημα, ἐν αὐτοῖς θανεῖν κεχρεωστήκασιν·
wished will in themselves to-die are-bound
πίστει τοίνυν καὶ ἀπονήρῳ ἁπλότητι προσευξάμενοι,
with-faith therefore and guileless simplicity having-prayed
καὶ ψυχὰς πατέρων ἢ καὶ ἀδελφῶν ἐν ταπεινώσει
and (the)-souls of-fathers or also brothers in humility

καὶ ἀνενδοιάστῳ καρδίᾳ ἐρωτήσαντες, ὡς ἐκ Θεοῦ
and undoubting heart having-asked as from of-God
στόματος τὰ παρ᾽ αὐτῶν συμβουλευόμενα δεχέσθωσαν·
mouth the(-things) by them counseled let-them-receive
εἰ καὶ ἐναντία τῷ ἑαυτῶν σκοπῷ τὰ εἰρημένα
if even contrary to-the own aim the(-things) said
τυγχάνουσιν, εἰ καὶ μὴ πάνυ πνευματικοὶ οἱ ἐρωτηθέντες
are if even not very spiritual those asked
καθεστήκασιν· οὐκ ἔστι γὰρ ἄδικος ὁ Θεὸς ψυχὰς πίστει
are not is for unjust — God souls with-faith
καὶ ἀκακίᾳ ἑαυτὰς τῇ τοῦ πλησίον συμβουλῇ καὶ κρίσει
and innocence themselves to-the of-the neighbor counsel and judgment
ταπεινωσάσας ἀπατῆσαι, κἂν ἄλογοι οἱ ἐρωτηθέντες
having-humbled to-deceive even-if irrational those asked
τυγχάνωσιν· ἀλλ᾽ ὁ λαλῶν ἄϋλος καὶ ἀόρατος.
are but the(-one) speaking immaterial and invisible
15 Πολλῆς ταπεινοφροσύνης ἀνάπλεοι καθεστήκασιν, οἱ τῷ
of-much humility full are those the
προειρημένῳ ἡμῖν ἀνενδοιάστως στοιχοῦντες κανόνι. Εἰ
aforesaid by-us undoubtingly following rule if
γὰρ ἐν ψαλτηρίῳ τὸ ἑαυτοῦ τις ἤνοιγε πρόβλημα,
for in (the)-psaltery the own someone opened question
πόσον οἴεσθε λογικὸν νοῦν καὶ ψυχὴν νοερὰν ἀψύχου
how-much do-you-think a-rational mind and soul spiritual from-a-lifeless
διαφέρειν ἀποφθέγματος; Πολλοὶ οἱ μήπω τὸ τέλειον
to-differ utterance many those not-yet the perfect
τοῦτο καὶ κοῦφον ἀγαθὸν τὸ προειρημένον ἐξ αὐταρεσκείας
this and light good the aforesaid from self-complacency
κατειληφότες· ἀλλ᾽ ἐξ ἑαυτῶν καὶ ἐν ἑαυτοῖς τὸ τοῦ
having-grasped but from themselves and in themselves the of-the
Κυρίου καταλαβεῖν εὐάρεστον ἐπιχειρήσαντες, ποικίλας ἡμῖν
Lord to-grasp good-pleasure having-attempted various to-us

λίαν καὶ πλείστας τὰς περὶ τούτου κρίσεις ὑφηγήσαντο.
very and very-many the about this judgments set-forth
Ἀπέστησάν τινες τῶν συζητητῶν πάσης προσπαθείας,
removed some of-the inquirers from-all attachment
τὸν ἑαυτὸν λογισμὸν ἐπὶ ταῖς ἑκατέραις βουλαῖς τῆς
the own thought in the each counsels of-the
ψυχῆς, λέγω δὴ τῇ ἐπιχειρουμένῃ καὶ τῇ ἀντιλεγούσῃ,
soul I-mean indeed the attempted and the opposing
καὶ γυμνὸν τὸν ἑαυτὸν νοῦν οἰκείου θελήματος ἐν ζεούσῃ
and naked the own mind of-own will in fervent
δεήσει ἐπὶ ῥητὰς ἡμέρας παραστήσαντες τῷ Κυρίῳ τῆς
supplication for set days having-presented to-the Lord the
ἐπιγνώσεως τοῦ θελήματος αὐτοῦ ἐπέτυχον· ἢ νοὸς
knowledge of-the will his obtained either (the)-mind
νοεροῦ νοερῶς τῷ ἡμετέρῳ νοΐ συλλαλήσαντος, ἢ τῆς
spiritual spiritually with-the our mind having-conversed or the
μιᾶς ἐννοίας τελέως τῆς ψυχῆς ἐξαφανισθείσης. Ἄλλοι
one thought completely from-the soul having-vanished others
ἐκ τῆς ἐπακολουθείσης τῷ ἐγχειρήματι θλίψεως καὶ
from the following on-the undertaking affliction and
διασκεδασμοῦ τοῦτο θεῖον εἶναι κατέλαβον κατὰ τὸν
scattering this divine to-be grasped according-to the(-one)
εἰπόντα· Ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἅπαξ, καὶ
having-said we-wished to-come to you both once and
δίς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς. Ἕτεροι τὸ ἐναντίον
twice and hindered us — Satan others the opposite
πάλιν ἐκ τῆς ἀπροσδοκήτου ἐν τῷ πράγματι συνεργίας
again from the unexpected in the matter help
τοῦτο Θεῷ εὐαπόδεκτον ᾔσθοντο, λέξαντες ἐκεῖνο, τό,
this to-God acceptable perceived having-said that —
Παντὶ τῷ προαιρουμένῳ τὸ ἀγαθὸν συνεργεῖ ὁ Θεός.
with-everyone the(-one) choosing the good works-together — God

Ὁ Θεὸν ἐν ἑαυτῷ διὰ φωτισμοῦ κτησάμενος, καὶ ἐν
the(-one) God in himself through illumination having-acquired both in
τοῖς κατεπείγουσι, καὶ ἐν τοῖς ἀναμένουσι πράγμασι τῷ
the urgent and in the waiting matters by-the
δευτέρῳ τρόπῳ οὐ μέντοι χρόνῳ πληροφορεῖσθαι πέφυκε.
second way not however in-time to-be-assured is-wont
Τὸ ἐνδοιάζειν ἐν ταῖς κρίσεσι, καὶ ἀπληροφόρητον ἐπὶ πολὺ
the to-hesitate in the judgments and unassured for long
διαμένειν, ἀφωτίστου καὶ φιλοδόξου ψυχῆς τεκμήριον.
to-remain of-an-unenlightened and glory-loving soul proof
Οὐκ ἔστιν ὁ Θεὸς ἄδικος, ὡς τοῖς μετὰ ταπεινώσεως
not is — God unjust so-as on-those with humility
κρούουσιν ἀποκλείσασθαι· ὁ σκοπὸς ἐν πᾶσι ζητεῖται παρὰ
knocking to-shut the aim in all is-sought by
Κυρίου, καὶ ἐν τοῖς κατεπείγουσι, καὶ ἐν τοῖς ἀναβάλλεσθαι
(the)-Lord both in the urgent and in the to-be-deferred
ὀφείλουσι. Πάντα γὰρ τὰ καθαρὰ προσπαθείας καὶ
owing all for the(-things) pure of-attachment and
παντὸς μολυσμοῦ, κυρίως διὰ Κύριον, καὶ οὐ δι᾽
every defilement properly because-of (the)-Lord and not because-of
ἕτερόν τινα γινόμενα, εἰ καὶ οὐ πάντως ἀγαθά, ἀλλ᾽ ὅμως
other any done if even not altogether good but nevertheless
καὶ εἰς ἀγαθὸν ἡμῖν λογισθήσονται. Ἡ γὰρ ὑπὲρ ἑαυτῶν
also as good to-us will-be-reckoned the for beyond ourselves
ζήτησις, οὐκ ἀκίνδυνον κέκτηται τέλος. Ἄῤῥητον τὸ περὶ
seeking not safe has end unspeakable the concerning
ἡμᾶς τοῦ Κυρίου κρῖμα. Πολλάκις γὰρ τὸ ἑαυτοῦ θέλημα
us of-the Lord judgment often for the own will
οἰκονομικῶς ἐξ ἡμῶν ἀποκρύψαι βούλεται, ἐπιστάμενος, ὡς
providentially from us to-hide he-wishes knowing that
καὶ μαθόντες αὐτὸ τούτου παρηκούομεν· καὶ λοιπὸν πλείους
even having-learned it this we-would-disobey and thereafter more

πληγὰς ληψόμεθα. Ἀπήλλακται εὐθὴς καρδία ποικιλίας
blows we-will-receive is-freed (an)-upright heart from-(the)-intricacy
πραγμάτων, ἀκινδύνως πλέουσα ἐν πλοίῳ ἀκακίας.
of-things safely sailing in (the)-ship of-innocence
Εἰσὶν ἀνδρεῖαι ψυχαὶ ἔρωτι καὶ ταπεινότητι καρδίας ἐν ταῖς 16
there-are courageous souls from-love and lowliness of-heart in the
ὑπὲρ ἑαυτοὺς ἐργασίαις ἐπιχειροῦσαι· καὶ εἰσὶν ὑπερήφανοι
beyond themselves works engaging and there-are proud
καρδίαι τὸ αὐτὸ διαπράττουσαι. Σκοπὸς γὰρ πολλάκις
hearts the same doing aim for often
τοῖς ἐχθροῖς ἡμῶν τὰ ὑπὲρ δύναμιν ἡμῖν ὑποτίθεσθαι·
to-the enemies our the(-things) beyond power to-us to-suggest
ἵνα δι' ἐκείνων κατολιγωρήσαντες, καὶ τῶν κατὰ
that through them having-lost-heart also from-the(-things) within
δύναμιν ἀποπέσωμεν, καὶ ποιήσωμεν γελοῖον τοῖς ἐχθροῖς
power we-may-fall-away and make a-laughingstock to-the enemies
ἡμῶν ἑαυτοὺς μέγιστον. Εἶδον καὶ ἀσθενεῖς ψυχὰς καὶ
our ourselves greatest I-saw also weak souls and
σώματα διὰ πλῆθος πταισμάτων ἐν τοῖς ὑπὲρ
bodies because-of (the)-multitude of-failings in the(-things) beyond
ἑαυτὰς ἐπιχειρησάσας, καὶ μὴ ὑπενεγκάσας, αἷς ἔγωγε
themselves having-undertaken and not having-endured for-whom I
ποσότητι ταπεινώσεως, καὶ οὐ καμάτων, τὴν μετάνοιαν
by-quantity of-humility and not of-labors the repentance
παρὰ Θεῷ ἔφρασα κρίνεσθαι. Ἔστιν ὅταν ἡ ἀνατροφὴ
with God I-said to-be-judged there-is when the upbringing
τῶν ἐσχάτων κακῶν αἴτιος τυγχάνει· ἔστιν ὅτε καὶ ἡ
of-the utmost evils cause is there-is when also the
συνδιαγωγή· πλὴν πολλάκις καὶ ἡ διεστραμμένη ψυχὴ
company but often also the perverse soul
αὐταρκεῖ ἑαυτῇ πρὸς ἀπώλειαν. Ὁ χωρισθείς, τῶν δύο,
suffices for-itself for destruction the(-one) separated from-the two

καὶ τοῦ τρίτου ἴσως ἀπήλλακται. Ὁ δὲ τὸ τρίτον ἔχων,
also from-the third perhaps is-freed the(-one) but the third having
ἐν παντὶ τόπῳ ἀδόκιμος· οὐδεὶς γὰρ τόπος τοῦ οὐρανοῦ
in every place unproven no for place than-the heaven
ἀσφαλέστερος. Ἐν τοῖς μὲν κακοθελῶς ἡμῖν μαχομένοις
safer with the indeed ill-willingly with-us fighting
ἀπίστοις, ἢ κακοπίστοις μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν
unbelievers or heretics after (the)-first and second admonition
παυσώμεθα. Ἐν δὲ τοῖς τὴν ἀλήθειαν μαθεῖν βουλομένοις, τὸ
let-us-stop with but those the truth to-learn wishing the
καλὸν ποιοῦντες ἕως αἰῶνος μὴ ἐκκακῶμεν. Πλὴν καὶ πρὸς
good doing to (the)-age not let-us-lose-heart but also for
τὸν στηριγμὸν ἡμῶν τῆς καρδίας ἐν ἀμφοτέροις χρησώμεθα.
the strengthening our of-the heart in both let-us-use(-it)
Ἄλογος λίαν ὁ ὑπὲρ φύσιν ἐν τοῖς ἁγίοις ἀκούων ἀρετάς,
senseless very the(-one) beyond nature in the saints hearing virtues
καὶ ἑαυτοῦ ἀπολεγόμενος. Μᾶλλον δὲ δυοῖν θάτερόν σε
and of-himself despairing rather but of-two one you
ἀρίστως παιδεύουσιν, ἢ πρὸς πολλὴν σεαυτοῦ ἐπίγνωσιν·
excellently they-teach either to much of-yourself recognition
καὶ τῆς ἐνούσης σοι ἀσθενείας φανέρωσιν ἐπιστρέψουσι
and of-the present in-you weakness disclosure they-will-turn(-you)
διὰ τῆς τρισοσίου ταπεινώσεως. Εἰσὶν ἀκάθαρτοι πονηρῶν
through the thrice-holy humility there-are unclean than-wicked
πονηρότεροι δαίμονες, οἳ τὴν ἁμαρτίαν ἡμᾶς κατεργάζεσθαι
more-wicked demons who the sin us to-commit
μόνους οὐ συμβουλεύουσιν· ἀλλὰ κοινωνοὺς ἡμᾶς πρὸς τὸ
alone not advise but partners us in the
κακόν, καὶ ἑτέρους ἔχειν συμβουλεύουσιν, ἵνα χαλεπωτέραν
evil also others to-have advise that harsher
ἡμῖν τὴν κόλασιν ποιήσωσιν. Ἑώρακα συνήθειαν πονηρὰν
for-us the punishment they-may-make I-have-seen a-habit evil

ἐξ ἑτέρου μεμαθηκότα ἕτερον· καὶ μέντοι ὁ μὲν
from one having-learned another and indeed the(-one) indeed
διδάξας εἰς συναίσθησιν ἐληλυθὼς μετανοεῖν ἤρξατο,
having-taught to awareness having-come to-repent began
καὶ τοῦ κακοῦ ἐπαύσατο· διὰ δὲ τῆς τοῦ μαθητοῦ
and from-the evil ceased through but the of-the disciple
ἐργασίας ἀνίσχυρος αὐτοῦ ἡ μετάνοια γέγονε. Πολλή,
practice powerless his the repentance became great
ὄντως πολλὴ καὶ δυσκατάληπτος ἡ τῶν πνευμάτων
truly great and hard-to-grasp the of-the spirits
πονηρία, καὶ ὀλίγοις ὁρατή· οἶμαι δὲ οὐδὲ ὀλίγοις
wickedness and to-few visible I-think and not-even to-few
πᾶσα. Πῶς δὲ τρυφῶντες καὶ κορεννύμενοι ἀγρυπνοῦμεν
all how and luxuriating and sated do-we-keep-vigil
νηφόντως. νηστεύοντες δὲ καὶ ταλαιπωροῦντες τῷ ὕπνῳ
soberly fasting but and toiling by-the sleep
ἐλεεινῶς καταφερόμεθα, ἢ ἡσυχάζοντες σκληρυνόμεθα, καὶ
pitiably we-are-borne-down or keeping-stillness we-are-hardened and
συνδιάγοντες κατανυσσόμεθα; Λιμώττοντες καθ' ὕπνους
living-in-company we-are-pierced starving in sleep
πειραζόμεθα, καὶ ἐμφορούμενοι ἀπείραστοι διαμένομεν·
we-are-tempted and filled untempted we-remain
ἐν ἐνδείᾳ σκοτεινοί τινες καὶ ἀκατάνυκτοι γιγνόμεθα·
in want darkened some and uncompunctious we-become
ἐν οἰνοποσίᾳ δὲ ἱλαροὶ καὶ εὐκατάνυκτοι; πρὸς ταῦτα
in wine-drinking but cheerful and compunctious to these(-things)
ὁ δυνάμενος ἐν Κυρίῳ φωτίσει ἀφωτίστους. Ἡμεῖς
the(-one) able in (the)-Lord will-enlighten (the)-unenlightened we
γὰρ ἀφώτιστοι πρὸς τὰ τοιάδε τυγχάνομεν· πλὴν ἐκεῖνο
for unenlightened toward the such(-things) are but that
λέγομεν, ὅτι οὐ πάντοτε ἐκ δαιμόνων ἡ τοιαύτη μεταβολὴ
we-say that not always from demons the such change

γίνεται. Ἀλλ᾽ ἔστιν ὅτε καὶ ἐκ τῆς συγκράσεως τῆς
comes but there-is when also from the constitution the(-one)
δοθείσης μοι ταύτης, καὶ περιδεθείσης μοι, πῶς οὐκ οἶδα,
given to-me this and bound-around me how not I-know
ῥυπαρᾶς καὶ λιχνώδους παχύτητος. Περὶ τοῦ δυσδιακρίτου
of-filthy and greedy grossness about the hard-to-discern
τῆς τυχούσης τῶν προειρημένων μεταπτώσεως εἰλικρινῶς
of-the chance of-the aforesaid change sincerely
καὶ ταπεινῶς τὸν Κύριον δυσωπήσωμεν· κἂν μετὰ τὴν
and humbly the Lord let-us-entreat and-if after the
ἱκεσίαν, καὶ τὸν ταύτης χρόνον ὡσαύτως εὕρωμεν ἐνεργοῦν
supplication and the its time likewise we-find operating
τὸ γινόμενον, γνωσόμεθα ὡς οὐκ ἐκ δαιμόνων, ἀλλὰ
the(-thing) happening we-will-know that not from demons but
φύσεώς ἐστι τὸ γινόμενον. Πολλάκις δὲ καὶ θεία
of-nature is the(-thing) happening often and also divine
οἰκονομία διὰ τῶν ἐναντίων εὐεργετεῖν ἡμᾶς βούλεται,
dispensation through the opposites to-benefit us wishes
διὰ πάντων τὴν οἴησιν ἡμῶν καταστέλλουσα. Χαλεπὸν
through all the conceit our subduing hard
μὲν τὸν περὶ κριμάτων βυθὸν περιεργάζεσθαι· ἐν πλοίῳ
indeed the of judgments depth to-pry-into in a-ship
γὰρ οἰήσεως περίεργοι πλέουσιν.
for of-conceit (the)-curious sail

17 Ἤρετό τίς τινα τῶν βλέπειν δυναμένων, τί δήποτε
asked someone one of-those to-see able why ever
γινώσκων ὁ Θεός τινων τὰ πταίσματα, τούτους χαρίσμασι
knowing — God of-some the failings them with-gifts
καὶ τέρασι κατεκόσμησεν. Ὁ δέ φησιν· Ἵνα καὶ λοιποὺς
and wonders adorned he and says that also (the)-other
πνευματικοὺς ἀσφαλίσηται· καὶ τὸ αὐτεξούσιον δείξῃ καὶ
spiritual(-ones) he-might-secure and the free-will show and

ἀναπολογήτους ἐν τῇ κρίσει τοὺς πεπτωκότας ποιήσῃ.
without-excuse in the judgment those having-fallen make
Ὁ μὲν νόμος ὡς ἀτελής, Πρόσεχε σεαυτῷ. Ὁ δὲ Κύριος
the indeed law as imperfect attend to-yourself the but Lord
ὡς ὑπερτελής, καὶ τὴν τοῦ ἀδελφοῦ ἡμῖν διόρθωσιν
as more-than-perfect also the of-the brother to-us correction
προσπεφώνηκεν εἰπών· Ἐὰν ἁμαρτήσει ὁ ἀδελφός σου,
has-enjoined having-said if sins the brother your
καὶ τὰ ἑξῆς. Εἰ μὲν καθαρός σου ὁ ἔλεγχος καὶ
and the(-things) following if indeed pure your the reproof and
ταπεινός, μᾶλλον δὲ ὑπόμνησις, τὸ τοῦ Κυρίου
humble rather but reminder the(-command) of-the Lord
ποιεῖν μὴ παραιτήσῃ, καὶ μάλιστα ἐν τοῖς δεχομένοις·
to-do not refuse and especially with those receiving(-it)
εἰ δὲ οὔπω πέφθακας, κἂν τὴν νομικὴν ἄσκει λατρείαν.
if but not-yet you-have-attained at-least the legal practice worship
Μὴ θαμβοῦ καὶ τοὺς σοὺς προσφιλεῖς ἐχθραίνοντάς σοι
not be-amazed even the your friends hostile to-you
θεώμενος· δαιμόνων γὰρ ἐργαλεῖα οἱ κουφότεροι, καὶ
seeing of-demons for tools the more-frivolous and
μάλιστα ἐν τοῖς ἐχθροῖς αὐτῶν. Θαυμάζειν μοι ἐφ᾽
especially against the enemies their to-wonder to-me at
ἑνὶ τῶν ἐν ἡμῖν λίαν ὑπέρχεται· πῶς τε ἐπὶ ταῖς
one(-thing) of-the(-things) in us greatly comes how and in the
ἀρεταῖς Θεὸν τὸν παντοδύναμον, καὶ ἀγγέλους, καὶ ἁγίους
virtues God the almighty and angels and saints
εἰς συνεργίαν ἔχοντες, ἐπὶ δὲ τοῖς ἐναντίοις τὸν πονηρόν,
for help having in but the opposites the evil
καὶ μόνον δαίμονα, εὐπρεπεστέρως καὶ ὀξυτέρως πρὸς τὰ
and only demon more-becomingly and more-quickly to the
πάθη καμπτόμεθα. Περὶ μὲν τούτου ἐγὼ εἰς ἀκρίβειαν
passions we-bend about indeed this I to exactness

λέγειν οὐ δύναμαι, οὐδὲ βούλομαι. Τὰ μὲν γεγονότα
to-speak not can nor wish the(-things) indeed made
πάντα, εἰ οὕτω καθ' ὃ γεγόνασι φύσεως ἔχουσι, πῶς
all if thus as which they-were-made (in)-nature are how
τε εἰκών εἰμι τοῦ Θεοῦ, καὶ τῇ πηλῷ συμφύρομαι;
and (an)-image I-am — of-God and with-the clay I-am-mixed
ὥς φησιν ὁ μέγας Γρηγόριος. Εἰ δὲ ἑτέρως πώς τινα
as says the great Gregory if but otherwise somehow some
τῶν κτισθέντων παρ' ὃ γέγονε καθέστηκε,
of-the(-things) created contrary-to what it-was-made is
πάντως τῆς ἑαυτοῦ συγγενείας ἀπλήστως ὀρέγεται; Ἐν
surely for-the own kin insatiably longs with
πάσῃ τις μηχανῇ χρησάτω, ἵν' οὕτως εἴπω, ὅπως ἐν
every one device let-use that thus I-may-say that on
τῷ θρόνῳ τοῦ Θεοῦ τὴν πηλὸν ἀνενέγκας ἐνθρονιάσῃ.
the throne — of-God the clay having-carried-up he-may-enthrone
18 Οὐκοῦν μηδεὶς πρὸς τὴν ἀνάβασιν προφασιζέσθω· ἡ γὰρ
therefore let-no-one for the ascent make-excuses the for
ὁδὸς καὶ ἡ θύρα ἠνέῳκται· ἡ μὲν τῶν κατορθωμάτων τῶν
road and the door has-been-opened the indeed of-the achievements of-the
πνευματικῶν πατέρων ἀκρόασις τὸν νοῦν καὶ τὴν ψυχὴν
spiritual fathers hearing the mind and the soul
πρὸς ζῆλον διυπνίζουσιν· ἡ δὲ διδασκαλικὴ ἀκρόασίς ἐστι
to zeal rouse the and teaching hearing is
σκοτίας λύχνος, πεπλανημένων ἐπάνοδος, μυωπαζόντων
in-darkness a-lamp of-(the)-strayed return of-(the)-short-sighted
φωτισμός. Διακριτικός ἐστιν ὑγιείας εὑρετής, καὶ νόσου
illumination a-discerning(-man) is of-health finder and of-disease
καθαιρέτης. Κατὰ δύο τρόπους πάντες οἱ λεγόμενοι
destroyer in two ways all those called
μικροθαύμαστοι τοῦτο πάσχειν πεφύκασι· ἢ ἀγνωσίας
easily-amazed this to-suffer are-wont either of-ignorance

ἐσχάτης χάριν, ἢ σκοπῷ ταπεινοφροσύνης τὰ τοῦ
utmost for-the-sake or with-aim of-humility the(-things) of-the
πλησίον μεγαλύνοντες καὶ ἐπαίροντες. Ἀγωνισώμεθα μὴ
neighbor magnifying and exalting let-us-strive not
μόνον παλαίειν, ἀλλὰ πολεμεῖν τοὺς δαίμονας· ὁ μὲν
only to-wrestle but to-make-war-on the demons the(-one) indeed
γὰρ ποτὲ μὲν βάλλει, ποτὲ δὲ βάλλεται. Οἱ δὲ πάντοτε
for sometimes indeed throws sometimes and is-thrown those but always
τὸν ἐχθρὸν διώκουσιν. Ὁ νικήσας τὰ πάθη τιτρώσκει
the enemy pursue the(-one) having-conquered the passions wounds
δαίμονας· τὰ πάθη μὲν ὑποκρινόμενος ἔχειν, διὰ τούτου
demons the passions indeed pretending to-have through this
δὲ ἀπατῶν τοὺς ἐχθροὺς αὐτοῦ, καὶ μένων ἀπολέμητος ἐξ
and deceiving the enemies his and remaining unassailed by
αὐτῶν. Ἠτιμάσθη ποτέ τις τῶν ἀδελφῶν, καὶ μηδ' ὅλως
them was-dishonored once one of-the brothers and not at-all
κινηθεὶς τῇ καρδίᾳ, κατὰ νοῦν προσευξάμενος· εἶθ' οὕτως
moved in-the heart in mind having-prayed then thus
ἀποδύρεσθαι ἐπὶ ταῖς ἀτιμίαις ἤρξατο δι' ἐπιπλάστου
to-lament over the dishonors began through feigned
πάθους τὴν ἑαυτοῦ ἀπάθειαν ἀποκρυψάμενος. Ἕτερος τῶν
passion the own dispassion having-hidden another of-the
ἀδελφῶν εἰς προκαθεδρίαν ὢν εἰς ἅπαν ἀνόρεκτος, ὑπὲρ
brothers for precedence being in all without-desire for
ταύτης τὸν πονοῦντα ὑπεκρίνατο. Πῶς δέ σοι φράσω τὴν
it the(-one) toiling pretended how and to-you shall-I-tell the
ἐκείνου ἁγνείαν, τοῦ ἐν πορνείῳ τῷ δοκεῖν ἁμαρτίας
of-that(-man) purity of-the(-one) in a-brothel in-the seeming sin
ἕνεκα εἰσπηδήσαντος, τὴν δὲ πόρνην πρὸς ἄσκησιν
for-the-sake having-leapt the and harlot to ascetic-life
ἀνασπάσαντος; Τίνι πάλιν τῶν ἡσυχαζόντων βότρυν
having-drawn-up to-one again of-those keeping-stillness a-cluster

τις προσκεκόμικε πρωΐ λίαν· ὁ δὲ μετὰ τὴν τοῦ
someone brought early very he and after the of-the(-one)
προσαγηοχότος ἄφιξιν ὀξείᾳ ὁρμῇ τινι ἀνορέκτως τοῦτον
having-brought going with-a-sharp impulse some without-appetite it
βέβρωκε, τοῖς δαίμοσι γαστρίμαργον ἑαυτὸν ἐμφανίζων;
ate to-the demons a-glutton himself showing
ἄλλος πάλιν μικρὰ ἀπολωλεκὼς θαλλία, ἅπασαν τὴν
another again small having-lost palm-leaves all the
ἡμέραν ἐποίει ἑαυτὸν ἀλγυνόμενον· πολλὴ τοῖς τοιούτοις
day made himself grieving much for-the such
νήψεως χρεία καθέστηκε, μήπως ἐμπαίζειν ἐπιχειρήσαντες,
of-sobriety need is lest to-mock having-attempted
εἰς ἐμπαιγμὸν καταλήξωσιν. Οὗτοι γὰρ ὄντως περὶ ὧν
into mockery they-end these for truly about whom
τις ἔφησεν, Ὡς πλάνοι τυγχάνουσι καὶ ἀληθεῖς.
someone said as deceivers they-are and true

19 Εἴ τις σῶμα στῆσαι βούληται ἁγνὸν τῷ Κυρίῳ,
if anyone (a)-body to-present wishes pure to-the Lord
καὶ καρδίαν καθαρὰν ἐπιδείξασθαι αὐτῷ, τηρησάτω
and (a)-heart pure to-show to-him let-him-keep
ἀοργησίαν καὶ ἐγκράτειαν· τούτων γὰρ χωρίς, πᾶς
freedom-from-anger and continence these for without all
κόπος ἡμῶν ἀνόνητος. Ὥσπερ διάφορα τῶν ὀφθαλμῶν
toil our useless as different of-the eyes
τὰ φῶτα, οὕτως πολλαὶ καὶ διάφοροι τοῦ νοητοῦ ἡλίου
the lights thus many and different of-the spiritual sun
αἱ ἐν ψυχῇ γινόμεναι ἐπισκιάσεις· ἄλλη μὲν γάρ, ἡ
the in (the)-soul happening overshadowings other indeed for the(-one)
διὰ τῶν σωματικῶν δακρύων, καὶ ἄλλη ἡ διὰ
through the bodily tears and other the(-one) through
τῶν ψυχικῶν· ἑτέρα ἡ διὰ τῶν τοῦ σώματος
the of-the-soul other the(-one) through the of-the body

ὀφθαλμῶν, καὶ ἑτέρα διὰ τῶν νοερῶν· ἄλλη ἡ
eyes and other through the spiritual other the(-one)
ἐξ ἀκοῆς λόγου, καὶ ἑτέρα ἡ ἰδιαιτέρως κινουμένη
from hearing of-(the)-word and other the particularly moving
ἐν τῇ ψυχῇ ἀγαλλίασις· ἄλλη ἡ ἐξ ἡσυχίας, καὶ
in the soul exultation other the(-one) from stillness and
ἑτέρα ἡ ἐξ ὑπακοῆς. Πρὸς τούτοις πᾶσιν ἄλλη
other the(-one) from obedience beside these all other
ἡ δι᾽ ἐκστάσεως τὸν νοῦν ἐν φωτὶ τῷ Χριστῷ
the(-one) through ecstasy the mind in light — Christ
παριστῶσα ἀῤῥήτως καὶ ἀφράστως. Εἰσὶν ἀρεταὶ καὶ
presenting unspeakably and inexpressibly there-are virtues and
εἰσὶ μητέρες ἀρετῶν. Ὁ ἐχέφρων τοίνυν ἐπὶ τῇ τῶν
there-are mothers of-virtues the sensible(-man) therefore for the of-the
μητέρων μᾶλλον ἀγωνίζεται κτήσει· τῶν μὲν μητέρων
mothers rather strives acquiring of-the indeed mothers
Θεὸς αὐτὸς ἐν ἰδίᾳ ἐνεργείᾳ διδάσκαλος· τῶν δὲ θυγατέρων
God himself in own working teacher of-the and daughters
πλεῖστοι. Πρόσχωμεν μήπως τὴν τῆς τρυφῆς ἔνδειαν
very-many let-us-take-heed lest the of-the luxury lack
διὰ πολυυπνίας ἀναπληρῶμεν· ἔργον γὰρ ἀφρόνων
through much-sleep we-make-up work for of-fools
τοῦτο, ὥσπερ καὶ τὸ ἔμπαλιν. Εἶδον ἐργάτας κατά τινα
this as also the reverse I-saw workers by some
περίστασιν μικρὸν τῇ γαστρὶ ὑποχαλάσαντας· θᾶττον
circumstance a-little to-the belly having-yielded quickly
δὲ οἱ ἀνδρεῖοι διὰ παννυχίου στάσεως τὴν τάλαιναν
but the courageous through all-night standing the wretched(-one)
ἐβασάνισαν, καὶ τὸν κόρον τοῦ λοιποῦ μετὰ χαρᾶς
tortured and the satiety for-the future with joy
ἀποστρέφεσθαι ἐπαίδευσαν. Παλαίει μὲν ὁ τῆς
to-turn-from taught wrestles indeed the(-demon) of-the

φιλαργυρίας ὀξέως τοῖς ἀκτήμοσιν· ὅταν δὲ μὴ ἰσχύσῃ,
avarice sharply with-the non-possessing when but not he-prevails
τότε λοιπὸν τοὺς πτωχοὺς εἰς ἀφορμὴν προβαλλόμενος,
then thereafter the poor as pretext putting-forward
ὑλικοὺς πάλιν τοὺς ἀΰλους ἀνέπεισε γενέσθαι. Ἀθυμοῦντες
material again the immaterial persuaded to-become despondent
μέν, τῆς πρὸς τὸν Πέτρον ἐντολῆς τοῦ Κυρίου ἐννοοῦντες
indeed the to — Peter command of-the Lord pondering
μὴ παυσώμεθα, τοῦ συγχωρεῖν ἑβδομηκοντάκις ἑπτὰ
not let-us-cease from-the to-forgive seventy-times seven
τῷ ἁμαρτάνοντι. Ὃς γὰρ ἑτέρῳ ἐνετείλατο, πάντως
the(-one) sinning he-who for another commanded surely
καὶ αὐτὸς πολλῷ πλέον ποιήσειεν. Ἐπαιρόμενοι δέ, τὸ
also himself much more would-do being-lifted-up but the
σύμπαν τοῦ εἰρηκότος μὴ παυσώμεθα ἐννοούμενοι.
whole of-the(-one) having-said not let-us-cease pondering
Ὅστις τελέσει πάντα τὸν πνευματικὸν νόμον, πταίσει δὲ
whoever fulfills all the spiritual law fails but
ἐν ἑνὶ πάθει, τοῦτ' ἔστι, ἐν ὑψηλοφροσύνῃ, γέγονε πάντων
in one passion this is in high-mindedness has-become of-all
ἔνοχος. Εἰσί τινες πνευματικῶν πονηρῶν καὶ φθονερῶν
guilty there-are some of-spirits wicked and envious
καταστάσεις ἑκουσίως τῶν ἁγίων ὑποχωροῦσαι, ἵνα μὴ
states willingly from-the saints withdrawing that not
ἐπὶ τοῖς ἀνικήτοις πολέμοις πρόξενοι στεφάνων τοῖς
in the unconquered wars causes of-crowns to-those
ὀχλουμένοις γένωνται. Μακάριοι μὲν οἱ εἰρηνοποιοί, καὶ
troubled they-may-become blessed indeed the peacemakers and
οὐδεὶς ὁ ἀντιλέγων. Ἐγὼ δὲ ἑώρακα καὶ ἐχθροποιοὺς
no-one the(-one) contradicting I but I-have-seen also enemy-makers
μακαρίους· δύο τινὲς πρὸς ἀλλήλους σχέσιν πορνικὴν
blessed two certain(-people) toward each-other a-relation lustful

ἐκέκτητο· τῶν δὲ γνωστικωτάτων τις ἀνὴρ δοκιμώτατος,
had of-the and most-knowing one man most-proven
διάκονος πρὸς ἑκατέρους μίσους ἐγένετο, ἐκείνῳ μέν,
servant toward both of-hatred became to-that(-one) indeed
τοῦτον διαβάλλων ὡς λοιδοροῦντα αὐτόν· τούτῳ δὲ πάλιν
this(-one) slandering as reviling him to-this(-one) and again
ἐκεῖνον ὁμοίως· καὶ ἠδυνήθη ὁ σοφὸς δαιμόνων κακίαν
that(-one) likewise and was-able the wise(-man) of-demons (the)-malice
ἀνθρωπίνῃ πανουργίᾳ διακρούσασθαι, καὶ μῖσος ἐργάσασθαι
with-human cunning to-repel and hatred to-work
πορνείαν λῦον. Ἔστιν ὁ διὰ ἐντολήν, ἐντολὴν
fornication dissolving there-is one-who because-of a-commandment a-commandment
παρακρουόμενος. Εἶδον γὰρ κατὰ Θεὸν νέους ἑαυτοῖς
sets-aside I-saw for according-to God young(-men) to-each-other
προσκειμένους· καὶ μέντοι διὰ τὴν ἑτέρων βλάβην
attached and indeed because-of the of-others harm
καὶ συνείδησιν, ἀλλήλους πληροφορήσαντες, πρὸς χρόνον
and conscience each-other having-assured for a-time
ἐμάκρυναν. Ὡς ἐναντία γάμος καὶ ἐξόδιον, οὕτως ἀσύμφωνα
kept-apart as opposite wedding and funeral thus incompatible
ὑπερηφανία καὶ ἀπόγνωσις. Καὶ ἔστιν ἐξ ἀκαταστασίας
pride and despair and it-is-possible from (the)-unruliness
δαιμόνων, ἀμφότερα ὁμοθυμαδὸν θεάσασθαι. Εἰσί τινες
of-demons both together to-see there-are some
τῶν ἀκαθάρτων δαιμόνων τὴν τῶν θείων Γραφῶν ἑρμηνείαν
of-the unclean demons the of-the divine Scriptures interpretation
ἐν προοιμίοις ἡμῖν ὑφηγούμενοι· τοῦτο δὲ μάλιστα φιλοῦσι
in (the)-beginnings to-us expounding this and especially they-love
ποιεῖν ἐν ταῖς τῶν κενοδόξων καρδίαις, καὶ μάλιστα τῶν
to-do in the of-the vainglorious hearts and especially of-those
τὴν ἔξω παίδευσιν ἐξησκημένων, ἵνα κατὰ μικρὸν αὐτοὺς
the outside learning having-trained-in that by little them

ἀπατῶντες εἰς αἱρέσεις καὶ βλασφημίας καταγάγωσιν. Ἐκ
deceiving into heresies and blasphemies they-may-lead-down from
τῆς ἐν τῇ ψυχῇ κατὰ τὸν καιρὸν τῆς ὑφηγήσεως, ταραχῆς
the in the soul at the time of-the expounding turmoil
καὶ χαρᾶς διακεχυμένης καὶ ἀσέμνου τὴν τῶν δαιμόνων
and joy dissolute and unseemly the of-the demons
θεολογίαν, μᾶλλον δὲ θεομαχίαν ἐπιγνωσόμεθα.
theology rather but fighting-against-God we-will-recognize

XXVI · DISCERNMENT, 20–24

Created things have an end, but virtue has none: love never ceases, and even the angels advance from glory to glory. God made no evil; we turned nature's gifts, the seed, anger, zeal, and the desire for glory, into passions. Christ fled Herod, so the rash should not throw themselves into temptation. Asked which spirits humble the mind and which exalt it, John pleads ignorance, and his questioner teaches him that the demons of fornication, anger, and gluttony do not lift the mind, while avarice and love of rule add evil to evil. The lustful are healed by men, the wicked by angels, the proud by God, and only the perfect know which thought is from conscience, which from God, and which from the demons.

20 Τάξιν μὲν καὶ ἀρχήν, τινὰ δὲ καὶ τέλος παρὰ τοῦ
order indeed and beginning some and also end from the(-one)
πεποιηκότος τὰ γεγονότα ἐσχήκασιν, ἡ δὲ ἀρετὴ
having-made the(-things) made have-received the but virtue
ἀπέραντον τὸ πέρας κέκτηται· Πάσης γάρ, φησὶν ὁ
unbounded the bound has of-all for says the
Ὑμνῳδός, συντελείας εἶδον πέρας· πλατεῖα δὲ καὶ
Psalmist consummation I-saw (an)-end broad but and
ἀπέραντος ἡ ἐντολή σου σφόδρα. Εἰ πορεύσονταί
boundless the commandment your exceedingly if will-go
τινες καλοὶ ἐργάται ἐκ δυνάμεως πρακτικῆς εἰς δύναμιν
some good workers from strength of-practice to strength

θεωρίας, καὶ ἡ ἀγάπη οὐδέποτε λήγει· καὶ Ὁ Κύριος
of-contemplation and the love never ceases and the Lord
φυλάξει τὴν εἴσοδον τοῦ φόβου σου, καὶ τὴν ἔξοδον
will-guard the entrance of-the fear your and the exit
τῆς ἀγάπης σου, οὐκοῦν ἀπέραντος τὸ ταύτης πέρας,
of-the love your then unbounded the its bound
ἐν ᾗ προκόπτοντες οὐδέποτε καταλήξομεν· οὐ κατὰ
in which advancing never we-will-cease not in
τὸν παρόντα, οὐ κατὰ τὸν μέλλοντα αἰῶνα φωτὶ φῶς
the present not in the coming age to-light light
γνώσεως προσλαμβάνοντες· εἰ καὶ ξένον πως τοῖς πολλοῖς
of-knowledge adding if even strange somehow to-the many
τὸ λεγόμενον, ὅμως κατὰ τὴν προλεχθεῖσαν ἡμῖν
the(-thing) said nevertheless according-to the aforesaid by-us
ἀπόδειξιν, ὦ μάκαρ, οὐδὲ γὰρ τὰς νοερὰς οὐσίας ἔγωγε
proof O blessed(-one) not-even for the spiritual beings I
ἀπροκόπους εἶναι εἴποιμι ἄν, δόξαν δὲ μᾶλλον δόξῃ ἀεὶ
without-progress to-be would-say — glory but rather to-glory always
προσλαμβανούσας, καὶ γνῶσιν ἐπὶ γνώσει ὁρίζομαι. Μὴ
adding and knowledge upon knowledge I-define not
θαυμάσῃς εἴπερ καὶ ἀγαθὰ ἡμῖν οἱ δαίμονες πολλάκις
marvel if-indeed even good to-us the demons often
νοήματα ὑποβάλλουσι καὶ τούτοις νοερῶς ἀντιλέγουσι·
thoughts suggest and them spiritually contradict
σκοπὸς γὰρ τοῖς ἐχθροῖς ἡμῶν ἐν τούτῳ πεῖσαι ἡμᾶς, ὡς
aim for to-the enemies our in this to-persuade us that
καὶ τὰ ἐγκάρδια ἡμῶν ἐνθυμήματα γινώσκουσι. Μὴ θέλε
even the heart's our thoughts they-know not wish
εἶναι πικρὸς δικαστὴς τῶν λόγῳ μεγάλα διδασκόντων,
to-be a-bitter judge of-those by-word great(-things) teaching
ὁρῶν αὐτοὺς τὴν πρακτικὴν ὀκνηροτέρους διακειμένους·
seeing them in-the practice rather-sluggish disposed

πολλάκις γὰρ τὴν τοῦ ἔργου ἔλλειψιν ἀνεπλήρωσεν ἡ
often for the of-the deed lack made-up the
τοῦ λόγου ὠφέλεια. Οὐ πάντες πάντως πάντα ἐπίσης
of-the word benefit not all altogether all(-things) equally
κεκτήμεθα· ἐν ἐνίοις μὲν γὰρ ὁ λόγος τὸ ἔργον· ἐν ἑτέροις
we-have in some indeed for the word the deed in others
δὲ πάλιν τὸ δεύτερον τὸ πρῶτον πλεονεκτεῖ. Κακὸν μὲν
and again the second the first surpasses evil indeed
ὁ Θεὸς οὔτε πεποίηκεν, οὔτε δεδημιούργηκεν. Ἠπατήθησαν
— God neither has-made nor has-fashioned were-deceived
δέ τινες φήσαντες φυσικὰ εἶναί τινα τῶν παθῶν ἐν ψυχῇ,
and some having-said natural to-be some of-the passions in (the)-soul
ἀγνοήσαντες ὅτι τὰ συστατικὰ τῆς φύσεως ἰδιώματα ἡμεῖς
not-knowing that the constitutive of-the nature properties we
εἰς πάθη μετηνέγκαμεν. Οἷον, φύσει ἐν ἡμῖν ἡ σπορὰ
into passions have-turned for-example by-nature in us the seed
διὰ τὴν τεκνογονίαν, μετεποιήσαμεν δὲ ἡμεῖς αὐτὴν
because-of the child-bearing changed but we it
εἰς πορνείαν. Φύσει ὁ θυμὸς ἐν ἡμῖν κατὰ τοῦ ὄφεως,
into fornication by-nature the temper in us against the serpent
κεχρήμεθα δὲ αὐτῷ ἡμεῖς κατὰ τοῦ πλησίον. Ἐν ἡμῖν ὁ
have-used but it we against the neighbor in us the
ζῆλος διὰ τὸ τὰς ἀρετὰς ζηλοῦν, ἡμεῖς δὲ ἐπὶ τῷ κακῷ
zeal because-of the the virtues to-emulate we but in the evil
ζηλοῦμεν. Φύσει τῇ ψυχῇ τὸ τῆς δόξης ἐπιθυμεῖν, ἀλλὰ
emulate by-nature in-the soul the the glory to-desire but
τῆς ἄνω· φύσει τὸ ὑπερηφανεύεσθαι, ἀλλὰ κατὰ τῶν
the above by-nature the to-be-proud but against the
δαιμόνων. Ὁμοίως ἡ χαρά, ἀλλὰ διὰ τὸν Κύριον καὶ
demons likewise the joy but because-of the Lord and
τὴν τοῦ πλησίον εὐπραγίαν· εἰλήφαμεν καὶ μνησικακίαν,
the of-the neighbor well-being we-have-received also grudge-bearing

ἀλλὰ κατὰ τῶν ἐχθρῶν τῆς ψυχῆς. Εἰλήφαμεν ἔφεσιν
but against the enemies of-the soul we-have-received desire
τροφῆς, οὐ μέντοι ἀσωτίας. Ἄοκνος ψυχὴ ἐξήγειρε καθ'
for-food not however for-profligacy an-unslothful soul roused against
ἑαυτῆς δαίμονας, πληθυνθέντων δὲ πολέμων, ἐπληθύνθησαν
itself demons multiplied and wars were-multiplied
καὶ στέφανοι. Ὁ μὴ πληττόμενος ὑπὸ πολεμίων, οὐ
also crowns the(-one) not struck by enemies not
πάντως στεφανωθήσεται. Ὁ δὲ ἐπὶ τοῖς συμβατικοῖς
surely will-be-crowned the(-one) but in the chance
πτώμασι μὴ ἀποκάμνων, ὑπὸ ἀγγέλων ὡς πολεμιστὴς
falls not growing-weary by angels as a-warrior
εὐφημηθήσεται. Τρεῖς μέν τις νύκτας ἐν γῇ πεποιηκὼς
will-be-praised three indeed one nights in (the)-earth having-spent
ἀνεβίω εἰς ἅπαν· ὁ δὲ τρεῖς ὥρας νενικηκὼς οὐκ
came-to-life in all the(-one) and three hours having-conquered not
ἀποθανεῖται λοιπόν. Ἐὰν κατ' οἰκονομικὴν παίδευσιν, μετὰ
will-die thereafter if by providential chastening after
τὴν ἀνατολὴν αὐτοῦ ἐν ἡμῖν, Ὁ ἥλιος ἔγνω τὴν δύσιν
the rising his in us the sun knew the setting
αὐτοῦ, πάντως ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, καὶ ἐγένετο
his surely he-made darkness hiding-place his and it-became
νύξ· ἐν αὐτῇ λοιπὸν διελεύσονται πρὸς ἡμᾶς οἱ πρώην
night in it thereafter will-pass to us the formerly
ἀναχωρήσαντες ἄγριοι σκύμνοι, καὶ πάντα τὰ θηρία τοῦ
withdrawn wild whelps and all the beasts of-the
δρυμοῦ τῶν ἀκανθωδῶν παθῶν, ὠρυόμενοι ἁρπάσαι τὴν
thicket of-the thorny passions roaring to-snatch the
ἐν ἡμῖν ἐλπίδα, καὶ ζητοῦντες παρὰ τοῦ Θεοῦ τῶν παθῶν
in us hope and seeking from — God of-the passions
βρῶσιν αὐτοῖς, ἢ δι' ἐννοίας, ἢ διὰ πράξεως,
food for-themselves either through thought or through deed

ἀνέτειλεν ἡμῖν διὰ σκοτεινῆς ταπεινώσεως πάλιν ὁ
rose for-us through dark humility again the
ἥλιος· καὶ πρὸς ἑαυτὰ τὰ θηρία συνήχθησαν, καὶ εἰς τὰς
sun and to themselves the beasts gathered and into the
μάνδρας αὐτῶν, ἤγουν φιληδόνους καρδίας καταστήσονται,
dens their that-is pleasure-loving hearts they-will-settle
καὶ οὐκ ἐν ἡμῖν. Τότε ἐροῦσιν ἐν τοῖς δαίμοσιν·
and not in us then they-will-say among the demons
Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ᾽ αὐτῶν ἔλεος πάλιν·
magnified (the)-Lord the to-do with them mercy again
ἡμεῖς δὲ πρὸς αὐτούς· Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ᾽
we and to them magnified (the)-Lord the to-do with
ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι. Ὑμεῖς δὲ διωκόμενοι· Ἰδοὺ
us we-became rejoicing you but pursued behold
Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, πάντως ψυχῆς γηΐνης
(the)-Lord sits on a-cloud light surely (the)-soul earthly
πάσης ἐπιθυμίας ὑψωθείσης, καὶ ἥξει εἰς Αἰγυπτίαν,
from-all desire raised and will-come into (an)-Egyptian
καρδίαν τὴν πρώην ἐσκοτισμένην, καὶ σεισθήσονται τὰ
heart the(-one) formerly darkened and will-be-shaken the
χειροποίητα εἴδωλα, καὶ ἐνθυμήματα τοῦ νοός. Εἰ Χριστὸς
handmade idols and thoughts of-the mind if Christ
ἀπὸ Ἡρώδου σωματικῶς φεύγει, καίπερ πάντα δυνάμενος,
from Herod bodily flees although all able
παιδευέσθωσαν οἱ προπετεῖς, μὴ ἑαυτοὺς τοῖς πειρασμοῖς
let-be-taught the rash not themselves to-the temptations
ἐπιῤῥίπτειν· Μὴ δῴης γάρ, φησίν, εἰς σάλον τὸν πόδα σου,
to-throw not give for it-says to tottering the foot your
καὶ οὐ νυστάξει ὁ φυλάσσων σε ἄγγελος. Συμπλέκεται
and not will-slumber the guarding you angel is-entwined
τῇ ἀνδρείᾳ ἡ τύφωσις, ὥσπερ ὁ λεγόμενος σμίλαξ
with-the courage the conceit as the so-called bindweed

τῇ κυπαρίσσῳ. Ἔργον ἡμῖν ἔστω ἀένναον, μὴ ψιλῇ
with-the cypress work for-us let-be unceasing not with-bare
ἐννοίᾳ λογίζεσθαι ἡμᾶς τὸ οἱονοῦν κεκτῆσθαι ἀγαθόν·
thought to-reckon us the whatever to-have good
ἀλλὰ τοῦτο ἀκριβῶς ἐκζητοῦν ἰδίωμα σκοπήσωμεν, εἰ
but this exactly seeking property let-us-consider whether
ἐν ἡμῖν ἐστι. Καὶ τότε πάντως ἐλλείποντας ἑαυτοὺς
in us it-is and then surely lacking ourselves
νοήσομεν· ζήτει καὶ τῶν παθῶν ἀπαύστως τὰ τεκμήρια,
we-will-perceive seek also of-the passions ceaselessly the proofs
καὶ τότε πολλὰ ἐνόντα σοι συνήσεις, ἅπερ ἐν νόσοις
and then many present in-you you-will-understand which in diseases
μὲν ὄντες διαγνῶναι οὐ δυνάμεθα, ἢ δι' ἀσθένειαν,
indeed being to-discern not we-can either because-of weakness
ἢ διὰ βαθεῖαν προκατάληψιν.
or because-of deep preoccupation
Πρόθεσιν κρίνει ὁ Θεός. Ἐν δὲ τοῖς κατὰ δύναμιν 21
intention judges — God in but the(-things) within power
τὴν ἐργασίαν φιλανθρώπως μέντοι ζητεῖ. Μέγας ὁ
the work lovingly however he-seeks great the(-one)
μηδὲν κατὰ δύναμιν ἐλλείπων· μείζων δὲ ὁ ἐν
in-nothing within power falling-short greater but the(-one) in
ταπεινώσει ἐν τοῖς ὑπὲρ δύναμιν ἐπιχειρῶν. Πολλάκις
humility in the(-things) beyond power attempting often
οἱ δαίμονες τὰ κουφότερα, καὶ συμφέροντα ἡμᾶς
the demons the(-things) lighter and profitable us
κωλύουσι διαπράττεσθαι, τὰ δὲ μοχθηρότερα μετελθεῖν
prevent to-do the(-things) but more-toilsome to-pursue
μᾶλλον προτρέπονται. Εὑρίσκω Ἰωσὴφ ἐκεῖνον δι'
rather urge I-find Joseph that because-of
ἀποστροφὴν ἁμαρτίας, καὶ οὐ δι' ἔνδειξιν ἀπαθείας
turning-away from-sin and not because-of display of-dispassion

μακαριζόμενον. Ζητητέον ἡμῖν ἐν ποίαις καὶ πόσαις
blessed it-must-be-asked by-us in what and how-many
ἁμαρτίαις ἡ ἀποστροφὴ στέφανον κέκτηται. Ἄλλο τὸ
sins the turning-away a-crown has other the
ἀποστρέφεσθαι τὴν σκιάν· ὑψηλότερον δὲ τὸ προστρέχειν
to-turn-from the shadow higher but the to-run-to
τῷ ἡλίῳ. Τὸ σκοτοῦσθαι αἴτιον τοῦ προσκόπτειν· τὸ δὲ
the sun the to-be-darkened cause of-the stumbling the and
προσκόπτειν τοῦ πίπτειν· τὸ δὲ πίπτειν τοῦ θνήσκειν.
stumbling of-the falling the and falling of-the dying
Ἐξ οἴνου οἱ σκοτισθέντες, ἐνίψαντο πολλάκις ὕδατι·
from wine those darkened washed often with-water
οἱ δὲ ἐκ παθῶν σκοτισθέντες, ἐνίψαντο δάκρυσιν. Ἄλλο
those but from passions darkened washed with-tears other
θόλωσις, καὶ ἄλλο ἐπίχυσις, καὶ ἕτερον τύφλωσις· καὶ τὴν
clouding and other film and other blindness and the
μὲν προτέραν ἰάσατο ἐγκράτεια· τὴν δὲ δευτέραν ἡσυχία·
indeed first healed continence the and second stillness
τὴν δὲ τρίτην ὑπακοή, καὶ ὁ Θεὸς ὑπήκοος γεγονώς.
the and third obedience and — God obedient having-become
Ἡμεῖς ἐκ δύο τῶν τὰ κάτω καθαιρόντων προσφυῶς
we from two of-those the(-things) below cleansing aptly
τὰ δύο τῶν τὰ ἄνω φρονούντων, ὡς ἐν ὑποδείγμασιν
the two of-those the(-things) above minding as in examples
ὑπειλήφαμεν. Κναφεῖον μὲν τὸ κατὰ Κύριον κοινόβιον·
have-taken a-fuller's-shop indeed the according-to (the)-Lord community
τὸ τὸν ῥύπον, καὶ τὴν παχύτητα, καὶ τὴν ἀμορφίαν
the(-one) the filth and the grossness and the ugliness
τῆς ψυχῆς ἀποξέον, εἰρηκότες. Βαφεῖον δ' ἂν εἴη ἡ
of-the soul scouring-off having-called a-dyer's-shop and — would-be the
ἀναχώρησις τοῖς τὴν λαγνείαν, καὶ μνησικακίαν, καὶ
withdrawal for-those the lust and grudge-bearing and

θυμὸν ἀποθεμένοις, καὶ ἐξ ἐκείνου λοιπὸν πρὸς ἡσυχίαν
temper having-put-off and from that thereafter to stillness
μετερχομένοις. Τινὲς τὸ τοῖς αὐτοῖς περιπίπτειν πτώμασιν
passing some the into-the same to-fall falls
ἐξ ἐλλείψεως τῆς ἁρμοζούσης, καὶ ἀντισηκούσης μετανοίας
from lack of-the fitting and counterbalancing repentance
τῷ προτέρῳ φασί. Ζητητέον δὲ εἰ πᾶς ὁ μὴ πεσὼν
to-the former say it-must-be-asked but whether every one not having-fallen
τῷ ἑαυτῷ εἴδει, ἄρα καὶ ἀξίως μετενόησε. Πεπτώκασι
in-the own kind then also worthily repented have-fallen
τοῖς αὐτοῖς τινες, ἢ τῶν προτέρων ἐν λήθης βυθῷ
into-the same some either of-the former(-ones) in of-forgetfulness depth
καταχωσθέντες, ἢ τὸν Θεὸν ἐκ φιληδονίας φιλάνθρωπον
having-been-buried or — God from love-of-pleasure merciful
ὑπολαμβάνοντες· ἢ τῆς ἑαυτῶν σωτηρίας ἀπολεγόμενοι.
supposing or of-the own salvation despairing
Οὐκ οἶδα εἰ μήπω μέ τις καταμέμφεσθαι ἤμελλεν, ἐπεὶ
not I-know if not-yet me anyone to-blame would since
ἂν εἶπον, ὅτιπερ τὸν ἐχθρὸν τοῦτον λοιπὸν δῆσαι μὴ
— I-would-say that the enemy this thereafter to-bind not
ἰσχύοντες, τῇ τῆς συνηθείας ἰσχύϊ τυραννοῦντα αὐτούς.
being-able by-the of-the habit strength tyrannizing them
Ἐρευνητέον πῶς ἀσώματος οὖσα ἡ ψυχή, τοὺς πρὸς 22
one-must-search how bodiless being the soul the(-spirits) with
αὐτὴν ὁμοουσίους ἐπιδημοῦντας, ὡς ἔχουσι φύσεως ὁρᾷν
it consubstantial dwelling as they-are (in)-nature to-see
οὐ πέφυκε· μήπως ἄρα διὰ τὴν ζεῦξιν, ἣν ὁ
not is-able perhaps then because-of the yoking which the(-one)
δήσας μόνος ἐπίσταται; Βουλομένῳ μαθεῖν φράζε δή,
having-bound alone knows to-one-wishing to-learn tell indeed
φράζε, τίς με γνωστικὸς ἐπύθετο, ποῖοι τῶν πνευμάτων
tell someone me knowing asked which of-the spirits

ταπεινοῦν, ποῖοι δὲ ὑψοῦν ἐπὶ ταῖς ἁμαρτίαις πεφύκασι
to-humble which and to-exalt at the sins are-wont
τὸν νοῦν. Κἀμοῦ πρὸς τὸ σκέμμα δυσχεράνατος, καὶ
the mind I-too at the question being-at-a-loss and
τὴν ἄγνοιαν βεβαιωσαμένου ὅρκῳ, ὁ μανθάνων
the ignorance having-affirmed with-an-oath the(-one) learning
ἐδίδαξεν. Ἐν ὀλίγοις, φησί, διακρίσεως ζύμην σοι δεδωκὼς
taught in few(-words) he-says of-discernment leaven to-you having-given
καταλείψω ζητεῖν ἐμπόνως· ὁ τῶν σωμάτων, καὶ
I-will-leave(-you) to-seek laboriously the(-demon) of-the bodies and
ὁ τῆς ὀργῆς, καὶ ὁ τῆς κοιλιομανίας· ὁ
the(-demon) of-the anger and the(-demon) of-the belly-madness the(-demon)
τῆς ἀκηδίας, ὁ ὕπνου οὐ πεφύκασί πως ἐπαίρειν
of-the listlessness the(-demon) of-sleep not are-wont somehow to-lift-up
τὸ τοῦ νοὸς κέρας. Ὁ δὲ τῆς φιλαργυρίας, φιλαρχίας
the of-the mind horn the(-demon) but of-the avarice love-of-rule
τε καὶ πολυλογίας, καὶ ἕτεροι πλείους κακῷ κακὸν
both and much-talk and others more to-evil evil
εἰώθασιν ἐπισυνάπτειν. Διὸ καὶ ὁ τοῦ κρίνειν,
are-accustomed to-join therefore also the(-demon) of-the judging
τούτοις παραπλήσιος καθέστηκεν. Εἴ τις πρὸς κοσμικοὺς
to-these similar is if anyone to worldlings
ἢ παρεγένετο, ἢ ἐδέξατο, καὶ ἐπὶ τῷ αὐτῶν μετὰ τὴν
either came or received(-them) and at the their after the
ὥραν ἢ ἡμέραν χωρισμῷ λύπης βέλος ἐδέξατο, καὶ μὴ
hour or day parting of-grief an-arrow received and not
μᾶλλον χαρᾶς ὡς ἐμποδίου παγίδος ἀπαλλαγείς, οὗτος
rather of-joy as of-a-hindering snare freed this(-man)
ἢ ὑπὸ κενοδοξίας ἢ ὑπὸ πορνείας ἐμπαίζεται. Τὸ πόθεν
either by vainglory or by fornication is-mocked the whence
ὁ ἄνεμος πνεῖ πρὸ πάντων ζητήσωμεν· μήπως εὑρεθῶμεν
the wind blows before all let-us-seek lest we-be-found

ἐναντίως τὰ ἱστία ἐκτείνοντες· παρακάλει ἐξ ἀγάπης
contrarily the sails spreading comfort from love
γέροντας πρακτικοὺς οἵτινες κατέτριψαν τὰ σώματα
elders practiced who wore-out the bodies
αὐτῶν ἐν ἀσκήσει, μικρὰν ἀνάπαυσιν αὐτοῖς παρεχόμενος.
their in ascetic-practice small rest to-them providing
Ἀνάγκαζε νέους ἐγκρατεύεσθαι, οἵτινες κατέτριψαν τὰς
compel young(-men) to-be-abstinent who wore-out the
ψυχὰς αὐτῶν ἐν ἁμαρτίαις, μνήμην κολάσεως αὐτοῖς
souls their in sins remembrance of-punishment to-them
διηγούμενος. Τῶν οὐκ ἐνδοχομένων ἐστίν, ὅπερ ἐν
relating of-the(-things) not possible it-is which in
ἑτέρῳ εἰρήκαμεν, εὐθέως ἐν προοιμίοις εἰς ἅπαν
another(-place) we-have-said immediately in (the)-beginnings in all
γαστριμαργίας καὶ κενοδοξίας ἡμᾶς καθαρεύειν· ἀλλὰ
of-gluttony and vainglory us to-be-clean but
μὴ θελήσωμεν διὰ τρυφῆς τῇ κενοδοξίᾳ μάχεσθαι·
not let-us-wish through luxury with-the vainglory to-fight
ἥττα γὰρ γαστριμαργίας κενοδοξίαν, τοῖς εἰσαγωγικοῖς
defeat for of-gluttony vainglory in-the beginners
λέγω, ἀποτίκτει. Μᾶλλον δὲ δι' ἐνδείας κατ' αὐτῆς
I-mean brings-forth rather but through want against it
πρεσβεύσωμεν. Ἐλεύσεται γὰρ ὥρα, καὶ νῦν ἐστι τοῖς
let-us-plead will-come for (the)-hour and now is for-those
βουλομένοις, ἵνα ὑποτάξῃ Κύριος καὶ ταύτην ὑπὸ τοὺς
wishing that may-subject (the)-Lord also it under the
πόδας ἡμῶν. Οὐ τοῖς αὐτοῖς οἱ νέοι καὶ οἱ γεγηρακότες
feet our not by-the same the young and the aged
προσερχόμενοι πολεμοῦνται πάθεσι. Πολλάκις γὰρ εἰς ἅπαν
approaching are-warred-on passions often for in all
ἐναντίας τὰς νόσους κέκτηνται. Διὰ τοῦτο μακαρία, ἡ
opposite the diseases they-have because-of this blessed the

μακαρία ταπείνωσις, ὅτι νέοις καὶ γεγηρακόσιν ἀσφαλὴς
blessed humility because for-young and aged sure
καὶ δυνατὴ γίγνεται μετάνοια. Μὴ θορυβήσω ἐν τῷ λέγειν
and possible becomes repentance lest I-disturb in the saying
ἔρχομαι. Σπάνιοι γάρ, πλὴν εἰσὶ ψυχαὶ εὐθεῖς καὶ ἀπόνηροι,
I-come rare for yet are souls upright and guileless
κακίας, καὶ ὑποκρίσεως, καὶ κακεντρεχείας ἀπηλλαγμέναι,
from-malice and hypocrisy and knavery freed
αἷς πάντη ἡ τῶν ἀνθρώπων συνδιατριβὴ ἀντίκειται
to-which wholly the of-the men company is-opposed
δυναμέναις μετὰ τοῦ ὁδηγοῦντος ἐκ τῆς ἡσυχίας, ὥσπερ
able with the guide from the stillness as
ἐκ λιμένος, εἰς οὐρανὸν ἀνέρχεσθαι, καὶ τῶν κοινοβιακῶν
from harbor to heaven to-go-up and of-the community
θορύβων, καὶ σκανδάλων διαμεῖναι ἀνενδεεῖς καὶ ἀπείρατοι.
tumults and offenses to-remain without-need and untried
Λάγνους μὲν ἄνθρωποι, πονηροὺς δὲ ἄγγελοι, ὑπερηφάνους
(the)-lustful indeed men (the)-wicked and angels (the)-proud
δὲ Θεὸς ἰάσασθαι πέφυκεν. Εἶδος ἀγάπης πολλάκις
and God to-heal is-wont a-form of-love often
ἴσως γέγονε καὶ τοῦτο, τὸ τῷ πλησίον καταλιμπάνειν
perhaps has-been also this the to-the neighbor to-leave(-it)
παραβάλλοντι πρὸς ἡμᾶς ποιεῖν, καθὼς βούλεται, ἐν
coming to us to-do as he-wishes in
ἅπασιν, ἡμῶν μέντοι ἱλαρότητα πᾶσαν ἐπιδεικνυμένων,
all us however cheerfulness all showing
ζητητέον πῶς καὶ ἕως τίνος, καὶ πότε, καὶ ἢ
it-must-be-asked how and until what(-point) and when and whether
ἄρα ἀναλυτικὴ ἡ μεταμέλεια τῶν καλῶν, ὥσπερ τῶν
then undoing the regret of-the good(-things) as of-the
κακῶν. Διακρίσει πολλῇ χρησώμεθα, πότε μὲν ἵστασθαι,
evil(-things) discernment much let-us-use when indeed to-stand

καὶ ἐν ποίοις, καὶ ἕως τίνος προσπαλαίειν ταῖς τῶν
and in what(-things) and until what(-point) to-grapple with-the of-the
παθῶν ὕλαις ὀφείλομεν. Ἔστι γὰρ καὶ φυγεῖν προκρῖναι
passions materials we-ought it-is-possible for also to-flee to-prefer
διὰ τὴν ἀσθένειαν, ἵνα μὴ ἀποθάνωμεν. Ἴδωμεν καὶ
because-of the weakness that not we-die let-us-see and
φυλάξωμεν (ἴσως γὰρ καὶ ἐν καιρῷ διὰ πικρίας χολὴν
watch perhaps for also in time through bitterness bile
κενῶσαι δυνάμεθα), ποῖοι μὲν τῶν δαιμόνων ὑψοῦσι,
to-empty we-can which indeed of-the demons exalt
ποῖοι δὲ ταπεινοῦσι, καὶ ποῖοι σκληρύνουσι, ποῖοι δὲ
which and humble and which harden which and
παρακαλοῦσι, καὶ ποῖοι μὲν σκοτίζουσι, ποῖοι δὲ πάλιν
comfort and which indeed darken which and again
φωτισμὸν ὑποκρίνονται, καὶ ποῖοι μὲν νωθρούς, ποῖοι
illumination feign and which indeed sluggish which
δὲ κακεντρεχεῖς, ποῖοι δὲ σκυθρωπούς, καὶ ποῖοι ἱλαροὺς
and knavish which and gloomy and which cheerful
ἡμᾶς ἀπεργάζονται. Μὴ θαμβηθῶμεν ἐν τῷ σταδίῳ ἐν
us make not let-us-be-amazed in the stadium in
προοιμίοις ἑαυτοὺς ἐμπαθεστέρους τῆς ἐν τῷ κόσμῳ
(the)-beginnings ourselves more-passionate than-the in the world
ἡμῶν διαγωγῆς ὁρῶντες. Δεῖ γὰρ τὰ αἴτια πάντα
our life seeing it-is-necessary for the causes all
κινηθῆναι. Εἶθ' οὕτως τὴν ὑγείαν ἡμῖν προσγενέσθαι, εἰ καὶ
to-be-stirred then thus the health to-us to-come if even
τάχα που τὰ θηρία κρυπτόμενα οὐκ ἐβλέποντο. Ὅτε
perhaps somewhere the beasts hidden not were-seen when
κατά τινα σύμβασιν λοιπὸν οἱ τελειότητι πλησιάζοντες,
by some chance thereafter those to-perfection drawing-near
ἔν τινι ψιλῷ τοῖς δαίμοσι ἡττηθῶσι, πάσῃ μηχανῇ
in something slight by-the demons are-defeated every device

χρῶνται συντόμως τοῦτο ἐξ αὐτῶν ἑκατονταπλάσιον
they-use quickly this from them hundredfold
ἀφαρπάσασθαι. Ὥσπερ οἱ ἄνεμοι, ποτὲ μὲν τὴν
to-snatch-back as the winds sometimes indeed the
ἐπιπολήν, διὰ τὸ γαληνόν, ποτὲ δὲ τὸν βυθὸν τῆς
surface because-of the calm sometimes and the depth of-the
θαλάσσης ταράττειν εἰώθασιν· οὕτως μοι νόει καὶ ἐπὶ
sea to-trouble are-accustomed thus for-me understand also in
τῶν σκοτεινῶν ἀνέμων, τῶν μὲν γὰρ ἐμπαθῶν αὐτὴν
the dark winds of-the indeed for passionate the-very
τὴν τῆς καρδίας αἴσθησιν ταράσσειν πεφύκασι· τῶν δὲ
the of-the heart perception to-trouble they-are-wont of-those and
ἤδη προκοψάντων, τὴν ἐπιπολὴν τοῦ νοός.
already advanced the surface of-the mind

23 Διὸ οὗτοι καὶ θᾶττον τῆς οἰκείας γαλήνης ἐπαισθάνονται,
therefore these also more-quickly the own calm perceive
ἀμολύντου διαμεινάσης. Τελείων τὸ ἐπιγνῶναι ἀεὶ ἐν
unsullied having-remained of-(the)-perfect the to-recognize always in
τῇ ψυχῇ, ποία μὲν τοῦ συνειδότος, ποία δὲ Θεοῦ, καὶ
the soul which indeed of-the conscience which and of-God and
ποία δαιμόνων ἔννοια. Οὐ γὰρ πάντα ἐναντία ἐκ
which of-demons thought not for all contrary(-things) from
προοιμίων ὑποτίθενται οἱ δαίμονες. Διὸ καὶ σκοτεινὸν
(the)-outset suggest the demons therefore also obscure
ὄντως τὸ πρόβλημα.
truly the problem

24 Ἐν δυσὶν ὄμμασιν αἰσθητοῖς φωτίζεται τὸ σῶμα, καὶ
in two eyes bodily is-lit the body and
ἐν νοητῇ, καὶ ὁρατῇ διακρίσει ὀφθαλμοὶ τῆς καρδίας
in spiritual and visible discernment (the)-eyes of-the heart
λαμπρύνονται.
are-brightened

The section gathers the teaching into short sayings. Faith is the mother of renunciation, hope the door of detachment, the love of God the ground of exile. A run of similes follows: as a serpent sheds its skin only in a narrow hole, the old man is put off only on the narrow road of fasting and dishonor; as water washes out letters, tears wash out failings; as a ship with a good pilot reaches harbor, a soul with a good shepherd goes up easily to heaven, even after much evil. Many have gained forgiveness quickly, but no one dispassion. The step ends on a chain of begettings, from perception through repentance, labors, and fear to love, humility, and dispassion, God's indwelling in the pure in heart.

Πίστις βεβαία ἀποταγῆς μήτηρ· τὸ δὲ ἐναντίον πρόδηλον. 25
faith firm of-renunciation mother the and opposite manifest

Ἐλπὶς ἀκλινὴς ἀπροσπαθείας θύρα· τὸ δὲ ἐναντίον 26
hope unswerving of-detachment door the and opposite
πρόδηλον.
manifest

Ἀγάπη Θεοῦ, ξενιτείας ὑπόθεσις· τὸ δὲ ἐναντίον πρόδηλον. 27
love of-God of-exile foundation the and opposite manifest

Ὑποταγὴν ἔτεκεν ἑαυτοῦ κατάγνωσις, καὶ ὑγείας ὄρεξις. 28
submission bore of-oneself condemnation and of-health desire

Ἐγκράτεια μήτηρ ὑγείας· ἐγκρατείας μήτηρ, θανάτου 29
continence mother of-health of-continence mother of-death
ἔννοια καὶ μνήμη παγία χολῆς καὶ ὄξους Δεσπότου
thought and remembrance firm of-(the)-gall and vinegar of-(the)-Master
καὶ Θεοῦ.
and God

Σωφροσύνης βοηθός ἐστι, καὶ ὑπόθεσις ἡσυχία· πυρώσεως 30
of-temperance helper is and foundation stillness of-burning
θραῦσις νηστεία.
breaking fasting

31 Λογισμῶν τε πονηρῶν καὶ αἰσχρῶν συντριμμὸς διανοίας
of-thoughts both wicked and shameful contrition of-mind
ἀντίπαλος· πίστις καὶ ξενιτεία θάνατος φιλαργυρίας.
adversary faith and exile death of-avarice

32 Συμπάθεια δὲ καὶ ἀγάπη προέδωκαν σῶμα.
compassion but and love gave-up (the)-body

33 Προσευχὴ ἐκτενής, ὄλεθρος ἀκηδίας·
prayer intense destruction of-listlessness

34 Μνήμη δὲ κρίσεως προθυμίας πρόξενος.
remembrance and of-judgment of-eagerness cause

35 Θυμοῦ ἴαμα, ἀτιμίας ἀγάπη· ὑμνῳδία δὲ καὶ συμπάθεια
of-temper remedy of-dishonor love hymnody and also compassion
καὶ ἀκτημοσύνη λύπης πνιγμοσύνη.
and poverty of-grief strangling

36 Ἀπροσπάθεια δὲ αἰσθητῶν, θεωρία νοητῶν.
detachment but from-sensible(-things) contemplation of-spiritual(-things)

37 Σιωπὴ καὶ ἡσυχία κενοδοξίας πολέμιοι. Εἰ δὲ μέσος
silence and stillness of-vainglory enemies if but middling
ὑπάρχεις, ἀτιμίαν μέτελθε.
you-are dishonor pursue

38 Ὑπερηφανίαν ὁρωμένην ἰάσονται σκυθρωπαὶ καταστάσεις·
pride visible will-heal gloomy states
ἀόρατον δὲ ὁ πρὸ αἰώνων ἀόρατος.
invisible but the(-one) before (the)-ages invisible

39 Πάντων θηρίων αἰσθητῶν ἀναιρετικὴ ἔλαφος, νοητῶν
of-all beasts sensible destroyer (the)-deer of-spiritual(-ones)
δέ, ἡ ταπείνωσις.
but the humility

40 Ἔνεστι διὰ τῶν κατὰ φύσιν πάντων ἡμῶν ἐναργῶς
it-is-possible through the(-things) according-to nature all us clearly
τὰ νοητὰ παιδεύεσθαι. Ὥσπερ ὄφιν ἀδύνατον τὴν
the spiritual(-things) to-be-taught as a-serpent impossible the

ἑαυτοῦ παλαιότητα ἐκδύσασθαι, μὴ ἐν στενῇ ὀπῇ εἰσδύντα·
own oldness to-put-off not in narrow hole having-crept
οὕτως καὶ ἡμᾶς τὰς παλαιὰς προλήψεις, καὶ τὴν τῆς
thus also us the old preconceptions and the of-the
ψυχῆς παλαιότητα, καὶ τὸν τοῦ παλαιοῦ ἀνθρώπου
soul oldness and the of-the old man
χιτῶνα, οὐ μὴ ἀποβάλωμεν, ἐὰν μὴ τῆς στενῆς, καὶ
tunic not — we-shall-cast-off if not the narrow and
τεθλιμμένης νηστείας, καὶ ἀτιμίας ὁδὸν παρέλθωμεν.
straitened of-fasting and dishonor road we-pass
Ὥσπερ τὰ πολύσαρκα τῶν ὀρνίθων εἰς οὐρανὸν πετασθῆναι 41
as the fleshy of-the birds to heaven to-fly
ἀδύνατον· οὕτω καὶ τὸν τὴν ἑαυτοῦ σάρκα θεραπεύοντα.
impossible thus also the(-one) the own flesh pampering
Ξηρανθεὶς βόρβορος οὐκ ἔτι χοίρους θεραπεύει, καὶ 42
dried mud no longer swine serves and
μαρανθεῖσα σὰρξ οὐκ ἔτι δαίμονας ἀναπαύει.
withered flesh no longer demons gives-rest
Ὥσπερ σχιδάκων πλῆθος πολλάκις συμπνίγει φλόγα, καὶ 43
as of-kindling abundance often smothers flame and
ἀποσβέννυσι, πλῆθος καπνοῦ ἐργασάμενον· οὕτω πολλάκις
quenches abundance of-smoke having-made thus often
καὶ λύπη ὑπέρμετρος καπνώδη καὶ σκοτεινὴν τὴν ψυχὴν
also grief excessive smoky and dark the soul
ἐργάζεται, καὶ τὸ ὕδωρ τῶν δακρύων ἀποξηραίνει.
makes and the water of-the tears dries-up
Ὥσπερ τυφλὸς τοξότης ἀδόκιμος· οὕτως μαθητὴς ἀντίλογος 44
as a-blind archer unproven thus a-disciple contradicting
ἀπόλλυται.
perishes

45 Ὥσπερ σίδηρος δόκιμος, καὶ τὸν ἀδόκιμον ὀξῦναι δύναται·
as iron tempered also the untempered to-sharpen can
οὕτως ἀδελφὸς πρόθυμος τὸν ῥᾴθυμον πολλάκις ἔσωσεν.
thus a-brother eager the indolent often saved

46 Ὥσπερ τὰ ὠὰ ἐν κόλπῳ θαλπόμενα ζωογονοῦνται· οὕτως
as the eggs in bosom warmed are-quickened thus
καὶ λογισμοὶ μὴ φανερούμενοι, εἰς ἔργα προφαίνουσι.
also thoughts not disclosed into deeds break-forth

47 Ὥσπερ ἵπποι τρέχοντες ἀλλήλοις ἁμιλλῶνται· οὕτως
as horses running each-other rival thus
συνοδία ἀγαθὴ ἑαυτὴν διεγείρει.
company good itself rouses

48 Ὥσπερ αἱ νεφέλαι ὑποκρύπτουσι τὸν ἥλιον· οὕτως αἱ
as the clouds hide the sun thus the
πονηραὶ ἔννοιαι σκοτίζουσι, καὶ ἀπολλύουσι τὸν νοῦν.
wicked thoughts darken and destroy the mind

49 Ὥσπερ ὁ τὴν ἀπόφασιν εἰληφώς, καὶ πρὸς τὴν
as the(-one) the sentence having-received and to the
καταδίκην πορευόμενος, οὐ λαλεῖ περὶ θεάτρων· οὕτως
condemnation going not talks about theaters thus
οὐδὲ ὁ ἐν ἀληθείᾳ πενθῶν, γαστέρα θεραπεύσει ποτέ.
not-even the(-one) in truth mourning (the)-belly will-pamper ever

50 Ὥσπερ πένητες θησαυροὺς βασιλικοὺς ὁρῶντες ἐπὶ πλεῖον
as paupers treasures royal seeing for more
τὴν ἑαυτῶν πτωχείαν ἐπιγινώσκουσιν· οὕτως καὶ ψυχὴ τὰς
the own poverty recognize thus also a-soul the
μεγάλας τῶν πατέρων ἀρετὰς ἀναγινώσκουσα, πάντως
great of-the fathers virtues reading surely
ταπεινότερον ποιεῖται τὸ ἑαυτῆς φρόνημα.
humbler makes the own mind

Ὥσπερ καὶ μὴ βουλόμενος ὁ σίδηρος ὑπακούει τῷ 51
as even not wishing the iron obeys the
μαγνίτῃ· οὕτω καὶ οἱ ποιωθέντες ταῖς προλήψεσι,
magnet thus also those habituated to-the preconceptions
τυραννοῦνται ὑπ᾽ αὐτῶν.
are-tyrannized by them

Ὥσπερ τὸ ἔλαιον καὶ μὴ βουλομένην ἡμεροῖ τὴν θάλασσαν· 52
as the oil even not willing calms the sea
οὕτως καὶ ἡ νηστεία, καὶ ἀκουσίας κατασβεννύει τὰς τοῦ
thus also the fasting even involuntary quenches the of-the
σώματος πυρώσεις.
body burnings

Ὥσπερ στενούμενον ὕδωρ εἰς ὕψος ἀνατρέχει· οὕτω 53
as confined water to height runs-up thus
πολλάκις καὶ ψυχὴ ὑπὸ κινδύνων στενωθεῖσα πρὸς Θεὸν
often also a-soul by dangers confined to God
διὰ μετανοίας ἀνῆλθε καὶ ἐσώθη.
through repentance went-up and was-saved

Ὥσπερ ὁ ἀρώματα βαστάζων, καὶ μὴ θέλων ἐκ τῆς 54
as the(-one) perfumes carrying even not wishing by the
ὀσμῆς ἐλέγχεται· οὕτως καὶ ὁ Πνεῦμα Κυρίου ἔχων,
smell is-exposed thus also the(-one) (the)-Spirit of-(the)-Lord having
ἐκ τῶν αὐτοῦ λόγων καὶ τῆς ταπεινώσεως γνωρίζεται.
from the his words and the humility is-recognized

Ὥσπερ τὰ πνεύματα ταράσσουσιν ἄβυσσον· οὕτω καὶ ὁ 55
as the winds trouble (the)-abyss thus also the
θυμὸς πλέον πάντων ταράττει τὴν διάνοιαν.
temper more than-all troubles the mind

56 Ὥσπερ ἃ ὀφθαλμὸς οὐκ εἶδεν, οὐδὲ σφοδρῶς ἐξ ἀκοῆς
as what (the)-eye not saw not-even vehemently from hearing
ἐπιθυμεῖ γεύσασθαι· οὕτως καὶ οἱ ἁγνοὶ τῷ σώματι,
it-desires to-taste thus also the pure in-the body
πολὺν ἐκ τούτου κουφισμὸν κέκτηνται.
much from this relief have

57 Ὥσπερ ὅπλα βασιλικὰ ἐν τόπῳ κείμενα ὁρῶντες οἱ
as arms royal in (a)-place lying seeing the
κλέπται, οὐχ, ὡς ἔτυχεν, ἐκεῖ ἐπιβαίνουσιν· οὕτως καὶ
thieves not as it-happened there enter thus also
ὁ τῇ καρδίᾳ προσευχὴν προσάψας, οὐχ, ὡς ἔτυχεν,
the(-one) to-the heart prayer having-fastened not as it-happened
ὑπὸ τῶν νοητῶν λῃστῶν κλέπτεται.
by the spiritual robbers is-robbed

58 Ὥσπερ οὐ τίκτει πῦρ χιόνα· οὕτως οὐδὲ ὁ τὴν
as not begets fire snow thus not-even the(-one) the
ἐνταῦθα ζητῶν τιμήν, τῆς ἐκεῖθεν ἀπολαύσει.
here seeking honor the there will-enjoy

59 Ὥσπερ εἷς σπινθὴρ πολλάκις πυρὸς πολλὴν ὕλην
as one spark often of-fire much matter
κατέκαυσεν· οὕτως καὶ ἓν ἀγαθὸν εὑρίσκεται πλῆθος
burned-up thus also one good is-found (a)-multitude
πταισμάτων μεγάλων ἐξαλεῖψαι.
of-failings great to-wipe-out

60 Ὡς οὐκ ἔστι χωρὶς ὅπλου θηρία ἀπολέσαι, οὕτως
as not it-is-possible without weapon beasts to-destroy thus
οὐδὲ χωρὶς ταπεινώσεως ἀοργησίαν κτήσασθαι.
not-even without humility freedom-from-anger to-acquire

61 Ὡς οὐκ ἔστι ζῆν κατὰ φύσιν ἄνευ βρώσεως, οὕτως
as not it-is-possible to-live according-to nature without food thus
οὐκ ἔστιν ἕως ἐξόδου κἂν πρὸς ῥοπὴν ἀμελῆσαι.
not it-is-possible until departure even for an-instant to-be-negligent

Ὥσπερ ἀκτὶς ἡλίου δι᾽ ὀπῆς εἰσελθοῦσα ἐν οἴκῳ πάντα 62
as (a)-ray of-sun through (a)-hole having-entered in a-house all
φωτίζει, ὡς καὶ τὸν λεπτότατον ὁρᾷν τότε κονιορτὸν
lights so-that even the finest to-see then dust
πετόμενον· οὕτως καὶ ὁ φόβος Κυρίου ἐν καρδίᾳ
flying thus also the fear of-(the)-Lord in (the)-heart
γενόμενος πάντα αὐτῇ τὰ αὐτῆς ἁμαρτήματα ὑποδείκνυσιν.
having-come all to-it the its sins shows
Ὥσπερ οἱ λεγόμενοι καρκῖνοι εὐεπιχείρητοι τυγχάνουσιν, 63
as the so-called crabs easy-to-catch are
διὰ τό, ποτὲ μὲν ἔμπροσθεν βαίνειν, ποτὲ δὲ
because-of the sometimes indeed forward to-walk sometimes and
ὄπισθεν· οὕτως καὶ ψυχή, ποτὲ μὲν γελῶσα, ποτὲ δὲ
backward thus also a-soul sometimes indeed laughing sometimes and
πενθοῦσα, ποτὲ δὲ τρυφῶσα, οὐδὲν ὠφελῆσαι δύναται.
mourning sometimes and luxuriating nothing to-profit can
Ὥσπερ οἱ ὑπνώττοντες εὐχερῶς συλῶνται· οὕτως καὶ 64
as those sleeping easily are-robbed thus also
οἱ πλησίον κόσμου τὴν ἀρετὴν μετερχόμενοι.
those near (the)-world the virtue pursuing
Ὥσπερ ὁ λέοντι μαχόμενος ἐὰν ῥεφθῇ τὸ ὄμμα, 65
as the(-one) with-a-lion fighting if he-turns the eye
εὐθέως ἀπόλλυται· οὕτως καὶ ὁ τῇ ἑαυτοῦ σαρκὶ
immediately perishes thus also the(-one) with-the own flesh
μαχόμενος ἐὰν ταύτην ἀναπαύσῃ.
fighting if it he-rests
Ὥσπερ οἱ εἰς κλίμακα ἀναβαίνοντες σαθρὰν κινδυνεύουσιν· 66
as those onto a-ladder climbing rotten are-endangered
οὕτως πᾶσα τιμή, καὶ δόξα, καὶ δυναστεία τῇ
thus all honor and glory and power to-the
ταπεινοφροσύνῃ ἀντίκεινται.
humility are-opposed

67 Ὡς ἀδύνατον τὸν πεινῶντα μὴ μνημονεύειν ἄρτου·
as impossible the(-one) hungering not to-remember bread
οὕτως ἀμήχανον σωθῆναι τὸν ἐξόδου καὶ κρίσεως μὴ
thus impossible to-be-saved the(-one) departure and judgment not
μνημονεύοντα.
remembering

68 Ὥσπερ τὸ ὕδωρ τὰ γράμματα· οὕτως τὸ δάκρυον τὰ
as the water the letters thus the tear the
πταίσματα ἐξαλείφειν δύναται.
failings to-wipe-out can

69 Ὥσπερ τινὰ τῶν γραμμάτων, ἀποροῦντες ὕδατος, δι᾽
as some of-the letters lacking water through
ἑτέρων τρόπων ἀπαλείφομεν· οὕτως εἰσὶ καὶ ψυχαὶ
other ways we-erase thus there-are also souls
ἀποροῦσαι δακρύων, καὶ διὰ λύπης, καὶ στεναγμοῦ, καὶ
lacking tears and through grief and groaning and
σκυθρωπότητος πολλῆς ταῦτα ἐκλεαίνουσι, καὶ ἀποξέουσιν.
gloominess much these smooth-away and scrape-off

70 Ὥσπερ πλῆθος κόπρου πλῆθος σκωλήκων ἐργάζεται·
as abundance of-dung abundance of-worms makes
οὕτως πλῆθος βρωμάτων πλῆθος πτωμάτων, καὶ πονηρῶν
thus abundance of-foods abundance of-falls and wicked
λογισμῶν, καὶ ἐνυπνίων ἐργάζεται.
thoughts and dreams makes

71 Ὥσπερ ὁ τοὺς πόδας πεδηθεὶς βαδίζειν εὐχερῶς
as the(-one) the feet fettered to-walk easily
οὐ δύναται· οὕτως καὶ οἱ θησαυρίζοντες χρήματα, εἰς
not can thus also those storing-up money to
οὐρανὸν ἀνελθεῖν οὐκ ἰσχύουσιν.
heaven to-go-up not are-able

Ὥσπερ ζεούσης τῆς πληγῆς εὐΐατος καθέστηκεν· οὕτως 72
as while-fresh the wound easy-to-heal is thus
τὰ χρόνια τραύματα τῆς ψυχῆς τοὐναντίον πάσχουσι, καὶ
the chronic wounds of-the soul the-opposite suffer and
δυσκόλως ἰῶνται ὅτε καὶ ἰαθήσονται.
hardly are-healed when even they-will-be-healed
Ὡς οὐ δυνατὸν τὸν ἀποθνήσκοντα βαδίζειν, οὕτως 73
as not possible the(-one) dying to-walk thus
ἀδύνατον ἀπογνόντα σωθῆναι.
impossible one-having-despaired to-be-saved
Ὁ πίστιν μὲν ὀρθὴν κεκτῆσθαι λέγων, ἁμαρτίας δὲ 74
the(-one) faith indeed right to-have saying sins but
διαπραττόμενος, ὅμοιός ἐστι προσώπῳ ὀφθαλμοὺς μὴ
committing like is to-a-face eyes not
ἔχοντι.
having
Ὁ πίστιν μὴ ἔχων, καλὰ δὲ ἴσως τινὰ ἐργαζόμενος, 75
the(-one) faith not having good(-things) but perhaps some working
ὅμοιός ἐστι τῷ ὕδωρ ἀντλοῦντι, καὶ εἰς πίθον
like is to-the(-one) water drawing and into (a)-jar
τετρημένον βάλλοντι.
pierced putting
Ὥσπερ πλοῖον, ἀγαθὸν κυβερνήτην ἔχων ἀκινδύνως εἰς 76
as a-ship good pilot having without-danger into
λιμένα, Θεοῦ συνεργοῦντος, εἰσέρχεται· οὕτως καὶ ψυχὴ
harbor God working-with enters thus also a-soul
ἀγαθὸν ποιμένα ἔχουσα εὐχερῶς εἰς οὐρανὸν ἀνέρχεται,
good shepherd having easily to heaven goes-up
καὶ πολλὰ κακὰ διαπραξαμένη καθέστηκεν.
even many evils having-done is

77 Ὥσπερ μὴ ἔχων ὁδηγὸν εὐχερῶς ἐν τῇ ὁδῷ πλανᾶται, κἂν
as not having (a)-guide easily on the road goes-astray even-if
λίαν φρόνιμος καθέστηκεν· οὕτως καὶ ὁ αὐτεξουσίως
very prudent he-is thus also the(-one) self-willedly
τὴν μοναδικὴν ὁδὸν πορευόμενος, εὐχερῶς ἀπόλλυται, κἂν
the monastic road traveling easily perishes even-if
πᾶσαν τὴν σοφίαν τοῦ κόσμου ἐπίσταται.
all the wisdom of-the world he-knows

78 Ὁπόταν τις τὸ σῶμα ἀσθενὴς ᾖ, καὶ χαλεπὰ πταίσματα
when anyone the body weak is and grievous failings
πεπραχώς, τὴν ὁδὸν τῆς ταπεινώσεως, καὶ τῶν αὐτῆς
having-committed the road of-the humility and of-the its
ἰδιωμάτων ὁδευέτω· ἄλλην γὰρ σωτηρίαν οὐχ εὑρήσει.
properties let-him-walk other for salvation not he-will-find

79 Ὡς οὐκ ἔστι τὸν μακρὰν νενοσηκότα νόσον, ἐν μιᾷ
as not it-is-possible the(-one) long having-been-sick (a)-disease in one
ῥοπῇ τὴν ὑγείαν κτήσασθαι· οὕτως οὐκ ἔστιν ἐξαίφνης
turn the health to-acquire thus not it-is-possible suddenly
παθῶν ἢ πάθους περιγενέσθαι.
passions or passion to-overcome

80 Παντὸς πάθους, καὶ πάσης ἀρετῆς ἔχε σημεῖον τῆς
of-every passion and every virtue have (a)-sign of-the
ποσότητος αὐτοῦ, καὶ γνώσεις τὴν ἑαυτοῦ προκοπήν.
quantity its and you-will-know the own progress

81 Ὥσπερ οἱ χρυσίῳ πηλὸν καταλλάττοντες ζημιοῦνται·
as those for-gold clay exchanging suffer-loss
οὕτως καὶ οἱ τῶν σωματικῶν χάριν τὰ πνευματικὰ
thus also those of-the bodily(-things) for-the-sake the spiritual(-things)
θριαμβεύοντες καὶ διηγούμενοι.
parading and relating

Ἄφεσιν μὲν συντόμως πολλοί, ἀπάθειαν δὲ οὐδεὶς 82
forgiveness indeed quickly many dispassion but no-one
ἐκτήσατο· τοῦτο γὰρ χρόνου, καὶ πόθου πολλοῦ, καὶ
acquired this for of-time and of-longing much and
Θεοῦ.
of-God

Ζητήσωμεν ποῖα μὲν ἐν τῷ σπόρῳ, ποῖα δὲ τῇ 83
let-us-seek which indeed in the sowing which and in-the
χλόῃ, ποῖα δὲ ἐν τῷ ἀμήτῳ ἡμῖν θηρία ἢ πετεινὰ
grass which and in the harvest us beasts or birds
ἐπιβουλεύουσιν, ἵνα καὶ τὰ θήρατρα ἁρμόζοντα στήσωμεν.
plot-against that also the traps fitting we-may-set

Ὥσπερ οὐ δίκαιον τὸν πυρέττοντα ἑαυτὸν διαχειρίσασθαι· 84
as not just the(-one) feverish himself to-kill
οὕτως ἕως ἐσχάτης ἀναπνοῆς μὴ ἀπογνῶναί ποτε.
thus until last breath not to-despair ever

Ὥσπερ ἄσεμνον τόν, τὸν ἑαυτοῦ πατέρα θάψαντα, εἶτα ἐκ 85
as unseemly the(-one) the own father having-buried then from
τῆς κηδείας ὑποστρέψαντα, εἰς γάμον πορεύεσθαι· οὕτως
the funeral having-returned to (a)-wedding to-go thus
ἀνοίκειον τοῖς πενθοῦσιν ἐπὶ πταίσμασι, τιμὴν ἢ ἀνάπαυσιν
unfitting for-those mourning over failings honor or rest
ἢ δόξαν ἐν τῷ παρόντι αἰῶνι ἐκζητῆσαι παρὰ ἀνθρώπων.
or glory in the present age to-seek from men

Ὥσπερ ἄλλα τὰ τῶν πολιτῶν, καὶ ἕτερα τὰ τῶν καταδίκων 86
as other the of-the citizens and other the of-the condemned
οἰκητήρια· οὕτως πάντῃ ὀφείλει ἐνηλλαγμένη εἶναι ἡ τῶν
dwellings thus wholly ought changed to-be the of-those
πενθούντων εὐθύνας παρὰ τοὺς ἀνευθύνους κατάστασις.
mourning accounts compared-with the unaccountable state

87 Ὥσπερ τὸν εἰς πρόσωπον ἑαυτοῦ λαβόντα πληγὰς
as the in (the)-face his having-received blows
χαλεπὰς στρατιώτην ἐν τῷ πολέμῳ, οὐ κελεύει βασιλεὺς
grievous soldier in the war not orders (the)-king
τῆς στρατείας ῥίπτεσθαι, ἀλλὰ καὶ μᾶλλον προκόπτειν·
from-the army to-be-thrown-out but even rather to-advance
οὕτως καὶ μοναχὸν πολλοὺς κινδύνους ἐκ δαιμόνων
thus also a-monk many dangers from demons
ὑπομένοντα ὁ ἐπουράνιος βασιλεὺς στεφανοῖ.
enduring the heavenly king crowns

88 Αἴσθησις ψυχῆς ἰδίωμα αὐτῆς· ἁμαρτία δὲ αἰσθήσεως
perception of-soul property its sin and of-perception
κολαφισμός.
buffeting

89 Αἴσθησις γεννᾷ κακοῦ ἢ κατάπαυσιν, ἢ μείωσιν·
perception begets of-evil either cessation or lessening
συναίσθησις δὲ γέννημα συνειδήσεως. Συνείδησις δέ ἐστι
awareness and offspring of-conscience conscience and is
λόγος καὶ ἔλεγχος τοῦ ἡμετέρου φύλακος τοῦ ἐκ
(the)-word and reproof of-the our guardian the(-one) from
βαπτίσματος παραδοθέντος ἡμῖν. Διόπερ οὐδὲ τοσοῦτον
baptism given to-us therefore not-even so-much
τοὺς ἀφωτίστους εὑρίσκομεν τυπτομένους ἐπὶ ταῖς κακαῖς
the unenlightened we-find struck at the evil
πράξεσιν ἐν τῇ ἑαυτῶν ψυχῇ· ἀλλ᾽ ἀμυδρῶς πως.
deeds in the own soul but dimly somehow

90 Μείωσις μὲν κακοῦ τίκτει ἀποχὴν κακοῦ· ἀποχὴ δὲ
lessening indeed of-evil begets abstinence of-evil abstinence and
κακοῦ, ἀρχὴ μετανοίας· ἀρχὴ δὲ μετανοίας ἀρχὴ
of-evil beginning of-repentance beginning and of-repentance beginning
σωτηρίας· ἀρχὴ δὲ σωτηρίας πρόθεσις ἀγαθή.
of-salvation beginning and of-salvation purpose good

Πρόθεσις δὲ ἀγαθὴ γεννήτρια πόνων· πόνων δὲ ἀρχή, 91
purpose and good begetter of-toils of-toils and beginning
ἀρεταί· ἀρχὴ δὲ ἀρετῶν ἄνθος· ἄνθος δὲ ἀρετῆς ἐργασία·
virtues beginning and of-virtues flower flower and of-virtue practice
ἀρετῆς δὲ γέννημα συνέχεια· συνεχεστέρας δὲ μελέτης
of-virtue and offspring continuance of-more-continuous and practice
καρπὸς καὶ γέννημα, ἕξις· ἕξεως δὲ τόκος ποίωσις·
fruit and offspring habit of-habit and offspring (second)-nature
καλοῦ δὲ ποίωσις γεννήτρια φόβου.
of-good and (second)-nature begetter of-fear
Φόβος δὲ τίκτει τήρησιν ἐνταλμάτων, ἐπουρανίων λέγω 92
fear and begets keeping of-commandments heavenly I-mean
δὴ καὶ ἐπιγείων· ἐνταλμάτων φυλακὴ ἀγάπης τεκμήριον·
indeed also earthly of-commandments keeping of-love proof
ἀγάπης δὲ ἀρχὴ πλῆθος ταπεινώσεως.
of-love and beginning abundance of-humility
Πλῆθος δὲ ταπεινώσεως θυγάτηρ ἀπαθείας· ταύτης δὲ 93
abundance and of-humility daughter of-dispassion of-this and
κτῆσις ἀγάπης πλήρωμα· εἴτ᾽ οὖν Θεοῦ τελεία ἐνοίκησις τοῖς
acquiring of-love fulfillment that is of-God perfect indwelling in-those
δι᾽ ἀπαθείας καθαροῖς τῇ καρδίᾳ· ὅτι αὐτοὶ τὸν Θεὸν
through dispassion pure in-the heart because they — God
ὄψονται· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
will-see to-him the glory to the ages of-the ages amen

Those still enslaved to the passions write about stillness with fear, lest a dog snatch a soul like bread from the table. Stillness of body is the ordering of habits and senses; stillness of soul is the ordering of thoughts, kept by a watchman at the heart's door. The solitary watches his mind as a cat watches a mouse. The passionate man who takes up stillness is like one who leaps from a ship onto a plank; the slack solitary blames the demons for leaving his cell and becomes one himself. The mind that prays speaks into the King's ear, the mouth that prays falls before him in front of the whole court. John invites the reader to sell all, take up the cross, and follow into stillness, the life of the angels.

1 Ἡμεῖς ὥσπερ ἀεὶ ὠνήσιμοί τινες τῶν ἀνοσίων παθῶν
we as always bought(-slaves) some of-the unholy passions
ὑπάρχοντες, καὶ δοῦλοι ὑπόσπονδοι γενόμενοι ἐκ τούτου
being and slaves bound-by-treaty having-become from this
καὶ τοὺς δόλους καὶ τρόπους καὶ τὰς ἐπιταγάς, καὶ τὰς
also the wiles and ways and the commands and the
πανουργίας ποσῶς ἐπιστάμεθα τῶν δεσποσάντων τῆς
villainies in-some-measure we-know of-the having-ruled the
ἀθλίας ἡμῶν ψυχῆς Πνευμάτων. Ἕτεροι γὰρ ὑπάρχουσι,
wretched our soul Spirits others for are
οἱ δι' ἐνεργείας πνεύματος ἁγίου, καὶ τῆς τούτων
the(-ones) through (the)-working of-(the)-spirit holy and the from-them
ἀπαλλαγῆς εἰς τὰς μηχανὰς αὐτῶν φωτισθέντες. Ἄλλος
deliverance into the devices their enlightened other
μὲν γὰρ ὁ ἐκ τῆς ἐν τῇ νόσῳ ὀδύνης τὴν τῆς ὑγείας
indeed for the(-one) from the in the disease pain the of-the health
στοχαζόμενος ἀνάπαυσιν, καὶ ἕτερος ὁ ἐκ τῆς ἐν τῇ
conjecturing rest and other the(-one) from the in the
ὑγείᾳ εὐθυμίας τὴν ἐν τῇ νόσῳ ἀθυμίαν καταλαμβανόμενος
health cheer the in the disease dejection grasping

καὶ τεκμαιρόμενος. Τοίνυν ἡμεῖς ὡς ἀσθενεῖς δεδοίκαμεν
and inferring therefore we as weak fear
ὑμῖν νῦν περὶ τοῦ τῆς ἡσυχίας λιμένος ἐν τῷ λόγῳ
to-you now about the of-the stillness harbor in the discourse
φιλοσοφεῖν, ἐπιστάμενοι ἀεὶ παρίστασθαί τινα κύνα ἐν τῇ
to-philosophize knowing always to-stand-by a-certain dog at the
τραπέζῃ τῆς καλῆς συνοδίας, καὶ ἄρτον, ἤγουν ψυχήν, ἐκ
table of-the good company and bread that-is a-soul from
ταύτης ἀφαρπάζειν δοκιμάζοντα. Καὶ τοῦτον τῷ στόματι
it to-snatch trying and it in-the mouth
ἐπιφερόμενον λοιπὸν ἀποτρέχοντα, καὶ καθ' ἡσυχίαν τοῦτον
carrying thereafter running-off and in quiet it
ἐσθίοντα. Διὸ ἵνα μὴ τούτῳ χώραν τῷ κυνὶ διὰ
eating therefore that not to-this room the dog through
τοῦ ἡμετέρου δῶμεν λόγου, καὶ ἀφορμὴν τοῖς ζητοῦσι,
the our we-may-give discourse and occasion to-those seeking(-it)
οὐ θέμις ἡγησάμεθα τοῖς ἐν τῷ πολέμῳ τυγχάνουσιν
not right we-thought to-the in the war being
ἐμψύχοις τοῦ βασιλέως ἡμῶν πολεμισταῖς, περὶ εἰρήνης νῦν
living of-the king our warriors about peace now
διαλέγεσθαι. Ἐκεῖνο δὲ μόνον λέγομεν, ὅτι τοῖς εὐτόνως
to-discourse that but only we-say that for-those vigorously
πολεμοῦσιν, οἱ τῆς εἰρήνης καὶ γαλήνης περιεπλάκησαν
fighting the of-the peace and calm were-woven
στέφανοι. Ὡς ἐν διακρίσεως οὖν τύπῳ, εἰ δοκεῖ, μικρὰ
crowns as in of-discernment then outline if it-seems-good a-little
νῦν λέγωμεν, ὅσον μὴ λυπῆσαί τινας ὡς ἀγύμναστον τὸν
now let-us-say so-as not to-grieve some as unexamined the
περὶ τούτων λόγον ἐν τῷ μεταξὺ καταλείψαντες.
about these discourse in the meantime having-left

2 Ἡσυχία μὲν σώματός ἐστιν ἠθῶν καὶ αἰσθήσεων ἐπιστήμη
stillness indeed of-body is of-habits and of-senses knowledge
καὶ κατάστασις· ἡσυχία δὲ ψυχῆς, λογισμῶν ἐπιστήμη
and ordering stillness and of-soul of-thoughts knowledge
καὶ ἀσύλητος ἔννοια. Ἡσυχίας φίλος, ἀνδρεῖός τις
and unplundered mind of-stillness friend courageous a-certain
καὶ ἀπότομος λογισμός, ἐν θύρᾳ καρδίας ἀνυστάκτως
and severe thought at (the)-door of-(the)-heart unsleeping
ἱστάμενος, καὶ τοὺς προσερχομένους, ἢ κτείνων, ἢ
standing and those approaching either killing or
ἀποσειόμενος. Ὁ ἐν αἰσθήσει καρδίας ἡσυχάζων,
shaking-off the(-one) in perception of-heart keeping-stillness
γινώσκει τὸ εἰρημένον· ὁ δὲ νήπιος ἔτι ὤν, τούτου
knows the(-thing) said the(-one) but infant still being of-this
ἄγευστος καὶ ἄγνωστος πέλει. Ἡσυχαστὴς γνωστικὸς οὐ
untasting and ignorant is a-solitary knowing not
δεηθήσεται λόγων· τοὺς γὰρ λόγους τῶν ἔργων φωτίζεται.
will-need words the for words of-the deeds he-is-enlightened
Ἀρχὴ μὲν ἡσυχίας τὸ ἀποσείεσθαι κτύπους, ὡς τὸν βυθὸν
beginning indeed of-stillness the to-shake-off noises as the depth
ταράσσοντας· τέλος δὲ ταύτης, τὸ μὴ δεδιέναι θορύβους·
troubling end and of-it the not to-fear disturbances
ἀλλ' ἀναισθητεῖν ἐν τούτοις. Προερχόμενος, ὁ λόγῳ
but to-be-insensible in them going-out the(-one) in-speech
οὐ προερχόμενος, ἤπιος, ἀγάπης ὅλος οἶκος· δυσκίνητος
not going-out gentle of-love wholly a-house slow-moving
πρὸς λόγον, ἀκίνητος πρὸς θυμὸν πέφυκεν εἶναι. Τὸ δὲ
to speech unmoved to temper is-wont to-be the and
ἐναντίον πρόδηλον· ἡσυχαστής ἐστιν ὁ τὸ ἀσώματον
opposite manifest a-solitary is the(-one) the bodiless
ἐν σωματικῷ οἴκῳ περιορίζειν φιλονεικῶν, τὸ παράδοξον·
in bodily house to-confine striving the paradox

τηρεῖ μὲν μῦν ἡ τούτου θηρεύτρια· μῦν δὲ νοητόν,
watches indeed a-mouse the its huntress a-mouse and spiritual
ἡσυχαστοῦ ἔννοια. Μὴ ἔστω σοι ἀπόβλητον τὸ προλεχθὲν
of-a-solitary mind not let-be to-you contemptible the aforesaid
ὑπόδειγμα· εἰ δὲ μή, οὔπω ἡσυχίαν ἐγνώρισας. Οὐχ οὕτως
example if but not not-yet stillness you-have-known not so
μοναχὸς, ὡς μοναχὸς μοναχῷ. Ὁ μοναχὸς νήψεως πολλῆς,
a-monk as a-monk with-a-monk the monk sobriety much
καὶ ἀρεμβάστου νοὸς δέεται· τῷ μὲν προτέρῳ πολλάκις
and undistracted mind needs the indeed former often
ἐβοήθησεν ἕτερος· τῷ δὲ δευτέρῳ συνήργησεν ἄγγελος·
helped another the and second assisted an-angel
νοερὰς δυνάμεις συλλειτουργοῦσι, καὶ φιλοχωροῦσιν ἐν
spiritual powers minister-with and love-to-dwell in
ψυχικῷ ἡσυχαστῇ. Τὸ δὲ ἐναντίον σιωπήσω σοι·
inward solitary the and opposite I-will-keep-silent to-you
δογμάτων βυθὸς βαθύς, νοῦς δὲ ἡσυχαστοῦ ἅλλεται
of-doctrines (the)-depth deep (the)-mind and of-a-solitary leaps
οὐκ ἀκινδύνως ἐν αὐτοῖς· οὐκ ἀσφαλὲς μετ' ἐσθῆτος
not without-danger in them not safe with clothing
νήχεσθαι· οὐδὲ πάθος ἔχοντα θεολογίας ἅπτεσθαι. Κέλλη
to-swim nor passion having theology to-touch (the)-cell
μὲν ἡσυχαστοῦ περιορισμὸς σώματος, ἔνδοθεν ἔχουσα
indeed of-a-solitary confinement of-body within having
οἶκον γνώσεως. Ὁ ψυχικὸν πάθος νοσῶν, καὶ ἡσυχίαν
a-house of-knowledge the(-one) of-soul passion sick and stillness
ἐπιχειρῶν ὅμοιός ἐστι τῷ ἐν τῷ πελάγει ἐκ τῆς
attempting like is to-the(-one) in the sea from the
νηὸς ἐκπηδήσαντι, καὶ ἐν σανίδι ἐπὶ τὴν γῆν ἀκινδύνως
ship having-leapt and on a-plank to the land without-danger
φθάνειν δοκοῦντι· ὅσοι τῇ πηλῷ μάχονται, τούτοις
to-reach thinking as-many-as with-the clay fight to-them

ἐν καιρῷ οἰκείῳ ἡ ἡσυχία συντρέχεται, εἴπερ καὶ τὸν
in time proper the stillness is-fitting if-indeed also the(-one)
ἐφοδηγοῦντα κέκτηνται· τὸ γὰρ μεμονωμένον ἀγγελικῆς
guiding they-have the for solitary(-life) angelic
ἰσχύος δέεται· ἐμοὶ λόγος περὶ ὄντως ἡσυχαστῶν
strength needs to-me (the)-discourse about truly solitaries
σώματι καὶ πνεύματι. Ἡσυχαστὴς ἀπορῥᾳθυμήσας λαλήσει
in-body and spirit a-solitary having-grown-slack will-speak
ψεύδη, τοὺς ἀνθρώπους αὐτὸν τῆς ἡσυχίας παῦσαι
lies the men him from-the stillness to-stop
διὰ τῶν αἰνιγμάτων προτρεπόμενος. Καταλείψας τὴν
through the riddles urging having-left the
κέλλαν, αἰτιᾶται δαίμονας, λέληθε δὲ αὐτὸς ἑαυτῷ
cell he-blames demons escapes-notice but himself to-himself
δαίμων γενόμενος. Εἶδον ἡσυχαστάς, καὶ τὴν φλεγομένην
a-demon having-become I-saw solitaries and the burning
αὐτῶν πρὸς Θεὸν ἐπιθυμίαν διὰ τῆς ἡσυχίας ἀπληρώτως
their toward God desire through the stillness insatiably
πληρώσαντας· καὶ πῦρ πυρί, καὶ ἔρωτι ἔρωτα, καὶ
having-filled and fire from-fire and from-love love and
πόθῳ πόθον γεννήσαντας. Ἡσυχαστής ἐστι τύπος
from-longing longing having-begotten a-solitary is an-image
ἀγγέλου ἐπίγειος χάρτῃ πόθου καὶ σπουδῆς γράμμασι τὴν
of-an-angel earthly on-paper of-longing and zeal with-letters the
ἑαυτοῦ προσευχὴν ῥᾳθυμίας καὶ ὀλιγωρίας ἐλευθερώσας.
own prayer from-indolence and negligence having-freed
Ἡσυχαστής ἐστιν ὁ βοήσας ἐναργῶς· Ἑτοίμη ἡ
a-solitary is the(-one) having-cried clearly ready the
καρδία μου, ὁ Θεός. Ἡσυχαστής ἐστιν ἐκεῖνος ὁ εἰπών·
heart my O God a-solitary is that(-one) the having-said
Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ. Κλεῖε μὲν
I sleep and the heart my keeps-watch shut indeed

θύραν κέλλης σώματι· καὶ θύραν γλώσσης φθέγμασι, καὶ
(the)-door of-(the)-cell to-(the)-body and (the)-door of-(the)-tongue to-words and
ἔνδον πύλην πνεύμασι. Γαλήνη μέν, καὶ μεσημβρία ἡλίου
within (the)-gate to-spirits calm indeed and noon of-sun
ὑπομονὴν ναύτου ἤλεγξεν· ἀπορία δὲ χρειῶν, καρτερίαν
(the)-patience of-a-sailor tested lack and of-necessities (the)-endurance
ἡσυχαστοῦ ἐφανέρωσεν· ὁ μὲν ἀθυμῶν νήχεται ὕδασιν·
of-a-solitary revealed the-one indeed despondent swims in-waters
ὁ δὲ ἀκηδιῶν φύρεται πλήθεσι. Μὴ φοβοῦ κτύπων
the-other and listless mingles with-crowds not fear of-noises
ἀθύρματα· δειλίαν γὰρ πένθος οὐκ ἐπίσταται οὐδὲ πτύρεται.
playthings cowardice for mourning not knows nor is-scared
Ὧν ὁ νοῦς μεμάθηκεν ἀληθῶς εὔχεσθαι, οὗτοι κυρίῳ
whose the mind has-learned truly to-pray these to-(the)-lord
ἐνωπίως ἐνωπίῳ λαλοῦσιν, ὡς πρὸς τὸ οὖς τοῦ βασιλέως.
face to-face speak as into the ear of-the king
Ὧν τὸ στόμα εὔχεται, οὗτοι ἐπὶ πάσης τῆς συγκλήτου
whose the mouth prays these before all the senate
αὐτῷ προσπίπτουσιν. Ὅσοι ἐν κόσμῳ διατρίβουσιν, οὗτοι
to-him fall-down as-many-as in (the)-world live these
ἐν μέσῳ τοῦ θορύβου παντὸς τοῦ δήμου τὸν βασιλέα
in (the)-midst of-the tumult of-all the people the king
ἱκετεύουσιν. Εἰ τὴν τέχνην ἐπισταμένως μεμάθηκας, οὐκ
petition if the art skillfully you-have-learned not
ἀγνοεῖς τὸ λεγόμενον. Καθεζόμενος ἐφ' ὕψους
you-are-ignorant-of the(-thing) said sitting on high
τήρει, εἰ ἄρα καὶ ἐπίστασαι, καὶ τότε ὄψει πῶς,
watch if then also you-know and then you-will-see how
καὶ πότε, καὶ πόθεν· καὶ πόσοι, καὶ ποῖοι κλέπται
and when and whence and how-many and what-kind-of thieves
εἰσελθεῖν, καὶ κλέψαι τοὺς βότρυας ἔχονται. Ἀποκαμὼν
to-enter and to-steal the clusters undertake having-grown-weary

ὁ σκοπός, ἀναστὰς προσεύχεται, καὶ πάλιν καθίσας τῆς
the watchman having-risen prays and again having-sat to-the
προτέρας ἐργασίας ἀνδρείως ἔχεται.
former work manfully holds

3 Ἠβούλετό τις ἐν πείρᾳ περὶ τούτων γεγονὼς λεπτῶς
wished one in experience about these having-been finely
καὶ ἠκριβωμένως εἰπεῖν· ἀλλὰ πεφόβηται, μήπως καὶ τοῖς
and exactly to-speak but he-has-feared lest also in-the
ἐργάταις ῥᾳθυμίαν ἐμποιήσῃ, καὶ τοὺς προαιρουμένους τῷ
workers indolence he-produce and those choosing(-it) by-the
κτύπῳ τῶν λόγων ἀποσοβήσῃ. Ὁ περὶ ἡσυχίας λεπτῶς
noise of-the words frighten-away the(-one) about stillness finely
καὶ γνωστικῶς ἐξηγούμενος, διήγειρε καθ' ἑαυτοῦ δαίμονας·
and knowingly expounding roused against himself demons
οὐδεὶς γὰρ ἕτερος τὰς τούτων ἀσχημοσύνας θριαμβεῦσαι
no-one for other the their disgraces to-expose
δύναται. Ὁ ἡσυχίαν καταλαβὼν ἔγνω βυθὸν μυστηρίων,
can the(-one) stillness having-attained knew (the)-depth of-mysteries
οὐ κατελήλυθε δὲ ἐν τούτῳ εἰ μὴ πρώην τοὺς τῶν κυμάτων
not he-has-gone-down but in it if not first the of-the waves
θορύβους καὶ πνευμάτων ἀνέμους, καὶ εἶδε καὶ ἤκουσεν·
tumults and of-spirits winds both saw and heard
ἴσως καὶ ἐῤῥαντίσθη. Κυροῖ τὸ εἰρημένον Παῦλος· εἰ μὴ
perhaps even was-spattered confirms the(-thing) said Paul if not
γὰρ ἐν παραδείσῳ ὡς ἐν ἡσυχίᾳ ἡρπάγη, οὐκ ἂν ἄῤῥητα
for in paradise as in stillness he-was-caught-up not — unspeakable
ῥήματα ἀκοῦσαι ἠδύνατο. Τῆς ἡσυχίας τὸ οὖς δέξεται παρὰ
words to-hear he-could of-the stillness the ear will-receive from
Θεοῦ ἐξαίσια. Διὸ καὶ ἐν τῷ Ἰὼβ αὕτη ἡ πάνσοφος
God wonders therefore also in — Job she the all-wise
ἔλεγε· Πότερον οὐ δέξεταί μου τὸ οὖς ἐξαίσια παρ' αὐτοῦ.
said whether not will-receive my the ear wonders from him

Ἡσυχαστής ἐστιν ὁ οὕτως φεύγων ἀμίσως, ὡς ἕτερος
a-solitary is the(-one) so fleeing without-hatred as another
προστρέχων ῥᾳθύμως ἐκκοπὴν γλυκύτητος Θεοῦ λαβεῖν μὴ
running-to indolently cutting-off of-sweetness of-God to-receive not
βουλόμενος. Ἀπελθὼν σκόρπισόν σου συντόμως· τὸ γάρ,
wishing having-gone scatter your quickly the for
Πώλησόν σου, χρόνου, τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς,
sell your of-time the possessions and give to-(the)-poor
ἵνα δι᾽ εὐχῆς πρὸς τὴν ἡσυχίαν συνδράμωσι· ἆρον τὸν
that through prayer to the stillness they-may-help take-up the
σταυρόν σου, διὰ τῆς ὑπακοῆς τοῦτον βαστάζων· καὶ τὸ
cross your through the obedience it carrying and the
βάρος τῆς ἐκκοπῆς τοῦ σοῦ θελήματος ἰσχυρῶς ὑπομένων·
weight of-the cutting-off of-the your will strongly enduring
καὶ δεῦρο λοιπόν, ἀκολούθει μοι πρὸς τὴν συνάφειαν τῆς
and come thereafter follow me to the union of-the
μακαριωτάτης ἡσυχίας, καὶ διδάξω σε νοερῶν δυνάμεων
most-blessed stillness and I-will-teach you of-spiritual powers
ὁρωμένην ἐργασίαν καὶ πολιτείαν· οὐ κορεσθήσονται αὗται
visible work and way-of-life not will-be-sated these
εἰς αἰῶνα αἰώνων αἰνοῦσαι τὸν Ποιητήν, οὐδὲ ὁ ἐν
to age of-ages praising the Maker nor the(-one) in
οὐρανῷ ἡσυχίας εἰσελθὼν ὑμνῶν τὸν Κτίσαντα. Οὐ
heaven of-stillness having-entered hymning the Creator not
φροντίσουσι περὶ ὕλης οἱ ἄϋλοι, οὐδὲ περὶ τροφῆς οἱ
will-care about matter the immaterial nor about food the
ἔνυλοι ἄϋλοι· οὐκ αἰσθήσονται οἱ πρότεροι βρώσεως,
material immaterial(-ones) not will-feel the former food
οὐδὲ δεηθήσονται οἱ δεύτεροι ὑποσχέσεως. Οὐ φροντίσουσιν
nor will-need the second promise not will-care
ἐκεῖνοι περὶ χρημάτων καὶ κτημάτων, οὐδὲ οὗτοι περὶ
those about money and possessions nor these about

κακώσεως πνευμάτων. Οὐ πρόσεστι τοῖς ἄνω ἔφεσις
harm of-spirits not is-present in-those above desire
ὁρατῆς κτίσεως· οὐδὲ τοῖς κάτω, ἄνω ἐπιθυμίᾳ αἰσθητῆς
of-visible creation nor in-those below above by-desire of-sensible
ὄψεως· οὔποτε παύσονται τῇ ἀγάπῃ προκόπτοντες
sight never will-cease in-the love advancing
ἐκεῖνοι· οὐδὲ οὗτοι καθημέραν ἐκείνοις ἁμιλλώμενοι. Οὐκ
those nor these daily with-those vying not
ἄγνωστος παρ᾽ ἐκείνοις τῆς προκοπῆς ὁ πλοῦτος, οὐδὲ
unknown with those of-the progress the wealth nor
τούτοις τῆς ἀναβάσεως ὁ ἔρως· οὐ σταθήσονται μέχρι
with-these of-the ascent the love not they-will-stop until
τὰ Σεραφὶμ φθάσωσιν· οὐδὲ κοπάσονται, ἄχρις ἄγγελοι
the Seraphim they-reach nor will-tire until angels
γένωνται. Μακάριος ὁ ἐλπίζων· τρισμακάριος ὁ
they-become blessed the(-one) hoping thrice-blessed the(-one)
μέλλων ἄγγελος ὁ καταλαβών.
about(-to-be) an-angel the(-one) having-attained

The section sorts the solitaries by their reasons: some enter stillness from weakness of tongue, from temper, or from self-will, some to grow zealous or to punish themselves, some for glory, and a few for the love of God. John lists the signs of true stillness and of right obedience, and warns that the demon of listlessness prepares the way for fornication. Stillness is the laying aside of thoughts and even of reasonable cares; George the Arsilaite taught that vainglory comes in the morning, listlessness at noon, and the belly's tyrants at evening. The memory of Jesus is to be united to the breath, and Arsenius, who sent visitors away, is the model. A solitary's might is the abundance of prayer.

Εἰσὶ (καὶ τοῦτο πᾶσι γνώριμον) ἐν πάσαις ταῖς τῶν 4
there-are and this to-all known in all the of-the
ἐπιστημῶν καταστάσεσι, γνωμῶν καὶ βουλῶν διαφοραί·
sciences states of-opinions and counsels differences
οὐ γὰρ πάντων πάντα τὰ τέλεια δι' ἔνδειαν σπουδῆς,
not for of-all all the perfect because-of lack of-zeal
ἢ καὶ δι' ἀπορίαν δυνάμεως. Εἰσὶν οἱ ἐπὶ τὸν
or also because-of want of-power there-are those-who into the
λιμένα τοῦτον, μᾶλλον δὲ τὸ πέλαγος ἢ τάχα τὸν βυθόν,
harbor this rather but the sea or perhaps the depth
εἰσερχόμενοι δι' ἀσθένειαν τοῦ ἑαυτῶν στόματος, καὶ
entering because-of weakness of-the own mouth and
σώματος διὰ πρόληψιν· ἕτεροι ἀκρατῶς πρὸς θυμὸν
of-body because-of preconception others incontinently toward temper
ἔχοντες, καὶ μετὰ πλήθους κρατῆσαι τοῦτον μὴ δυνάμενοι
being and with (the)-crowd to-master it not able
οἱ τάλανες· ἄλλοι ἰδιορυθμίᾳ μᾶλλον, ἢ ὁδηγίᾳ ἐξ
the wretched others by-self-will rather than guidance from
οἰκήσεως πλέειν σκεψάμενοι· ἕτεροι μὴ δυνάμενοι ἐν
conceit to-sail having-decided others not able in

μέσῳ τῆς ὕλης τῶν ὑλῶν ἀπέχεσθαι· τινὲς μέν, ἵνα
(the)-midst of-the matter from-the materials to-abstain some indeed that
σπουδαῖοι ἐκ τῆς ἰδιάσεως γένωνται· ἄλλοι ἵνα ἀγνώστως
zealous from the solitude they-may-become others that unknown
ἑαυτοὺς ὑπὲρ εὐθυνῶν αἰκίσωσι· τινὲς δέ, ἵνα διὰ
themselves for offenses they-may-torment some and that through
ταύτης δόξαν ἑαυτοῖς περιποιήσωνται. Εἰσὶ δὲ ἕτεροι
it glory for-themselves they-may-procure there-are and others
(εἰ ἄρα ἐλθὼν ὁ Υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τοιούτους
if indeed having-come the Son of-the man will-find such
ἐπὶ τῆς γῆς) διὰ τρυφὴν καὶ δίψαν τῆς τοῦ Θεοῦ
on the earth because-of delight and thirst of-the — of-God
ἀγάπης, καὶ γλυκύτητος τῇ ὁσίᾳ ταύτῃ συζευχθέντες, οὐ
love and sweetness to-the holy(-one) this having-been-yoked not
πρότερον τοῦτο ποιήσαντες πρὶν πάσῃ ἀκηδίᾳ ἀποστάσιον
before this having-done before to-all listlessness (a)-bill-of-divorce
δεδώκασι. Ταύτης γὰρ ἡ συνάφεια, πορνεία παρὰ τῇ
they-have-given of-this for the union fornication with the
προτέρᾳ κρίνεται· κατὰ τὴν γνῶσιν τὴν ψιλὴν τὴν
former is-judged according-to the knowledge the bare the
δοθεῖσάν μοι, ὡς οὐ σοφὸς ἀρχιτέκτων κλίμακα ἀναβάσεως
given to-me as not a-wise master-builder a-ladder of-ascent
πεπελέκηκα· ἕκαστος δὲ λοιπὸν βλεπέτω ἐν ποίᾳ βαθμίδι
I-have-hewn each and thereafter let-him-see on what rung
ἕστηκεν, ἐξ ἰδιορυθμίας, διὰ δόξαν ἀνθρώπων, δι᾽
he-stands from self-will because-of glory of-men because-of
ἀσθένειαν γλώσσης· δι᾽ ἀκρασίαν θυμοῦ, διὰ πλῆθος
weakness of-tongue because-of incontinence of-temper because-of abundance
προσπαθείας, ἵνα εὐθύνας τίσωσιν, ἵνα σπουδαῖοι γένωνται,
of-attachment that penalties they-may-pay that zealous they-may-become
ἵνα πῦρ πυρὶ προσλάβωνται. Ἔσονται οἱ ἔσχατοι πρῶτοι,
that fire to-fire they-may-add will-be the last first

καὶ οἱ πρῶτοι ἔσχατοι. Αἱ μὲν ἑπτὰ τῆς ἑβδόμης, τοῦ νῦν
and the first last the indeed seven of-the seventh(-age) of-the present
εἰσιν ἐργασίαι· αἱ μὲν δεκταί, αἱ δὲ ἄδεκτοι· ἡ δὲ
are works the-ones indeed acceptable the-others and unacceptable the and
ὀγδόη δηλονότι τοῦ μέλλοντος αἰῶνος σημαντικὴ ὑπάρχει.
eighth clearly of-the coming age indicative is
Ἐπιτήρει, ὦ μοναχέ, μεμονωμένε θηρίων ὥρας· εἰ δὲ μή,
watch O monk solitary of-beasts (the)-hours if but not
οὐ δυνήσῃ ἁρμοζούσας τὰς παγίδας ἱστᾶν, εἰ ἀπέστη
not you-will-be-able fitting the snares to-set if departed
τελείως ἡ τὸ ἀποστάσιον λαβοῦσα, περιττὸν τὸ ἔργον·
completely she the bill-of-divorce having-received superfluous the work
εἰ δὲ ἔτι προπετεύεται, οὐ γινώσκω πῶς ἡσυχάσω. Τί
if but still she-is-forward not I-know how I-shall-keep-stillness why
δή ποτε οὐ τοσοῦτοι παρὰ τοῖς ὁσίοις Ταβεννησιώταις
indeed ever not so-many among the holy Tabennesiotes
οἱ φωστῆρες, ὅσοι παρὰ τοῖς Σκητιώταις γεγόνασιν;
the luminaries as-many-as among the Sketiotes have-been
Ὁ νοῶν νοείτω· ἐγὼ γὰρ λέγειν οὐ δύναμαι,
the(-one) understanding let-him-understand I for to-say not can
μᾶλλον δὲ οὐ βούλομαι. Οἱ μὲν τὰ πάθη μειοῦντες,
rather but not wish those indeed the passions lessening
οἱ δὲ ψάλλοντες, καὶ τὸ πλεῖστον ἐν τῇ προσευχῇ
those and chanting and the most in the prayer
καρτεροῦντες· οἱ δὲ τῇ θεωρίᾳ ἀτενίζοντες διάγουσι,
persevering those and on-the contemplation gazing live
κατὰ τὸν τῆς κλίμακος τρόπον ζητηθήτω τὸ πρόβλημα·
according-to the of-the ladder manner let-be-examined the problem
ὁ χωρῶν, ἐν Κυρίῳ χωρείτω.
the(-one) able in (the)-Lord let-him-receive(-it)

5 Εἰσὶ ῥάθυμοι ψυχαὶ ἐν κοινοβίῳ παραγενόμεναι, καὶ
there-are indolent souls in (a)-community having-come and
τῶν ὑλῶν τῆς ἑαυτῶν ῥᾳθυμίας εὐπορήσασαι, εἰς τελείαν
in-the materials of-the own indolence having-abounded into complete
ἀπώλειαν κατήντησαν. Καὶ εἰσὶ πάλιν, οἱ τὴν ἑαυτῶν
destruction came and there-are again those-who the own
ῥᾳθυμίαν διὰ τῆς ἑτέρων συνδιαγωγῆς ἀπεδύσαντο·
indolence through the of-others company stripped-off
οὐ μόνον δὲ ἐπὶ ἀμελεστέρων, ἀλλὰ καὶ ἐπὶ
not only and in-the-case-of more-negligent but also in-the-case-of
σπουδαίων πολλάκις τὸ αὐτὸ γέγονε. Τῷ αὐτῷ κανόνι καὶ
zealous often the same has-happened the same rule also
ἐπὶ τῆς ἡσυχίας χρησώμεθα λέγοντες, πολλοὺς δοκίμους
in the stillness let-us-use saying many proven
δεξαμένη, ἀπεδοκίμασε διὰ τῆς ἰδιορυθμίας, φιληδόνους
having-received it-rejected through the self-will pleasure-loving
αὐτοὺς ἐλέγξασα· ἑτέρους δὲ λαβοῦσα τῷ φόβῳ καὶ τῇ
them having-exposed others and having-taken by-the fear and the
μερίμνῃ τῆς τοῦ ἑαυτῶν κρίματος βασταγῆς, σπουδαίους
care of-the of-the own judgment bearing zealous
τινάς, καὶ ζέοντας εἰργάσατο. Μηδεὶς ὑπὸ θυμοῦ καὶ
some and fervent made let-no-one by temper and
οἰήσεως, ὑποκρίσεώς τε καὶ μνησικακίας ὀχλούμενος,
conceit hypocrisy both and grudge-bearing troubled
ἴχνος ἡσυχίας ἰδεῖν τολμῆσαι μήπως ἔκστασιν, καὶ μόνον
(the)-track of-stillness to-see dare lest derangement also only
κερδήσῃ. Εἰ δέ τις τούτων καθαρός, αὐτὸς λοιπὸν γνώσεται
he-gain if but anyone of-these pure himself thereafter will-know
τὸ συμφέρον, οἶμαι δὲ οὐδ' αὐτός· τῶν λόγῳ τὴν
the(-thing) profitable I-think but not-even himself of-those by-reason the
ἡσυχίαν μετερχομένων σημεῖα, καὶ στάδια, καὶ τεκμήρια
stillness pursuing signs and stages and proofs

ταῦτα· νοῦς ἀκύμαντος, ἔννοια ἡγνισμένη, ἁρπαγὴ πρὸς
these a-mind waveless thought purified rapture to
Κύριον, κολάσεων παράστασις, θανάτου ἔπειξις, προσευχὴ
(the)-Lord of-punishments presence of-death urgency prayer
ἀκόρεστος, φυλακὴ ἄσυλος, πορνείας θνῆσις, προσπαθείας
insatiable guard unplundered of-fornication death of-attachment
ἄγνοια, θάνατος κόσμου, γαστριμαργίας ἀνορεξία, θεολογίας
ignorance death to-(the)-world of-gluttony loss-of-appetite of-theology
ὑπόθεσις, διακρίσεως πηγή, δάκρυον ὑπόσπονδον, πολυλογίας
foundation of-discernment spring tear bound-by-treaty of-much-talk
ἀπώλεια, καὶ εἴτι τῶν τοιούτων, οἷς τὰ πλήθη φιλεῖ
destruction and whatever of-the such(-things) to-which the crowds are-wont
ἀντικεῖσθαι. Τοῖς δὲ οὐ λόγῳ ταύτην μετερχομένοις, αὕτη,
to-be-opposed to-those but not by-reason it pursuing this
τοῦ πλούτου ἡ πενία ὀργῆς· αὔξησις μνησικακίας ἀποθήκη,
of-the wealth the poverty of-anger increase of-grudge-bearing storehouse
ἀγάπης μείωσις, τύφου πρόσληψις, καὶ τὸ ἑξῆς
of-love lessening of-conceit gaining and the(-rest) following
σιωπήσομαι. Ἐπεὶ δὲ οὕτως ὁ λόγος κατέδραμεν, ἀνάγκη
I-will-pass-over since and thus the discourse has-run-on necessary
καὶ περὶ τῶν ἐν ὑποταγῇ ἐνταῦθα ἐνθέσθαι, καὶ μάλιστα,
also about those in submission here to-insert and especially
πρὸς αὐτοὺς γὰρ καὶ ὁ λόγος ὡς ἐπιπολὺ ἀποτείνεται.
to them for also the discourse as for-the-most-part is-addressed
Τῶν νομίμως, ἀμοιχεύτως καὶ ἀμολύντως τῇ κοσμίῳ ταύτῃ 6
of-those lawfully without-adultery and undefiled to-the orderly this
(ὑποταγῇ) καὶ εὐρεπεῖ συζευχθέντων, ταῦτα τὰ τεκμήρια
submission and comely wedded these the proofs
καὶ εἰσί, καὶ ὁρίζονται παρὰ τοῖς θεοφόροις Πατράσιν,
both are and are-defined by the God-bearing Fathers
ἰδίῳ μέντοι καιρῷ τελειούμενα· πλὴν ὅτι καθημέραν
in-its-own however time perfected except that daily

προσενηνόχαμεν προσθήκην, καὶ προκοπὴν λαμβάνοντες.
we-have-offered increase and progress receiving
Ταπεινώσεως εἰσαγωγικῆς αὔξησις, θυμοῦ μείωσις· πῶς γὰρ
of-humility elementary increase of-temper lessening how for
καὶ μὴ γεννήσεται τῆς χολῆς κενουμένης, σκοτισμῶν ἔλλειψις,
also not will-it-be-born the bile being-emptied of-darkenings lack
ἀγάπης πρόσληψις, παθῶν ἀλλοτρίωσις, μίσους λύτρωσις,
of-love gaining from-passions estrangement from-hatred deliverance
ἐξ ἐλέγχου λαγνείας μείωσις, ἀκηδίας ἄγνοια, σπουδῆς
from reproof of-lust lessening of-listlessness ignorance of-zeal
πρόσληψις, συμπαθείας ἀγάπη, ὑπερηφανίας ξενιτεία, τὸ
gaining of-compassion love from-pride exile the
πᾶσι ζητητέον, καὶ ὀλίγοις εὑρητέον, κατόρθωμα· ὕδατος
by-all it-must-be-asked and by-few to-be-found achievement water
μὴ παρόντος ἐν πηγῇ ἀνοίκειον τὸ ὄνομα. Καὶ τὸ ἑξῆς
not being-present in a-spring unfitting the name and the(-rest) following
νενόηται τοῖς νοῦν ἔχουσι· νεᾶνις μὲν μὴ φυλάξασα κοίτην,
is-understood by-those sense having a-maiden indeed not having-kept (the)-bed
ἐμίανε σῶμα· καὶ ψυχὴ μὴ φυλάξασα συνθήκην, ἐμίανε
defiled (the)-body and a-soul not having-kept (the)-covenant defiled
πνεῦμα· καὶ τῇ μὲν ἀκολουθεῖ ψόγος, μῖσος, μάστιγες,
(the)-spirit and the-one indeed follows blame hatred blows
χωρισμοί, τὸ πάντων ἐλεεινότατον· τῇ δέ, μολυσμοί,
separations the of-all most-pitiable the-other and defilements
θανάτου λήθη, κοιλίας ἀπληστία, ὀφθαλμῶν ἀκράτεια,
of-death forgetfulness of-belly insatiability of-eyes incontinence
κενοδοξίας ἐργασία, ὕπνου ἀχορτασία, σκληροκαρδία,
of-vainglory working of-sleep insatiability hardness-of-heart
ἀναισθησία, λογισμῶν ἀποθήκη, καὶ συγκαταθέσεως
insensibility of-thoughts storehouse and of-consent
προσθήκη, αἰχμαλωσία καρδίας, ταραχῆς ἐργασία, ἀνηκοΐα,
increase captivity of-heart of-turmoil working disobedience

ἀντιλογία, προσπάθεια, ἀπιστία, ἀπληροφορία, πολυλογία,
contradiction attachment unbelief uncertainty much-talk
παῤῥησία, ἡ πάντων χαλεπωτέρα· τὸ δὲ πάντων
license the of-all worse the but of-all
ἐλεεινότερον, ἀκατάνυκτος καρδία, ἣν διαδέχεται ἐν τοῖς
more-pitiable uncompunctious heart which succeeds in those
μὴ προσέχουσιν ἡ ἀναλγησία, ἡ μήτηρ τῶν πτωμάτων.
not attending the callousness the mother of-the falls
Καὶ πνευμάτων τοῖς μὲν ἡσυχάζουσιν οἱ πέντε· τοῖς δὲ 7
and of-spirits with-those indeed keeping-stillness the five with-those and
ὑποτασσομένοις, οἱ τρεῖς τῶν ὀκτὼ προσπαλαίουσιν. Ὁ
in-submission the three of-the eight grapple the(-one)
ἡσυχάζων, καὶ ἀκηδίᾳ πολεμῶν ζημιοῦται πολλάκις·
keeping-stillness and with-listlessness warring suffers-loss often
καιρὸν γὰρ προσευχῆς καὶ θεωρίας ἐν ταῖς πρὸς αὐτὴν
(the)-time for of-prayer and contemplation in the against it
μηχαναῖς ἐξαναλώσει, καὶ πάλαις· ῥᾳθυμήσαντί μοί ποτε
devices he-will-spend and wrestlings having-grown-slack me once
ἐν τῇ κέλλῃ καθεζομένῳ, καὶ ταύτην σχεδὸν καταλιμπάνειν
in the cell sitting and it almost to-leave
λογιζομένῳ, ἄνδρες τινὲς παραβαλόντες, ἱκανῶς ὡς
thinking men certain having-visited greatly as
ἡσυχαστήν με ἐμακάρισαν· καὶ θᾶττον ὁ τῆς ῥᾳθυμίας
a-solitary me blessed and quickly the of-the indolence
λογισμὸς ὑπὸ τῆς κενοδοξίας ἐχώρησε, καί γε τεθαύμακα
thought before the vainglory gave-way and at-least I-have-marveled
πῶς πᾶσιν ἐναντιοῦται τοῖς πνεύμασιν ὁ τρίβολος δαίμων.
how to-all is-opposed the spirits the three-pronged demon
Ὅρα καθ᾽ ὥραν τοῦ σοῦ συζύγου τοὺς ῥιπισμούς, καὶ
see each hour of-the your yoke-fellow the gusts and
παραριπισμούς, καὶ ῥοπάς, καὶ τροπάς, τὸ πῶς καὶ ποῦ τὴν
cross-gusts and swings and turns the how and where the

ῥοπὴν κέκτηνται. Ὁ διὰ Πνεύματος ἁγίου γαλήνην
inclination they-have the(-one) through (the)-Spirit holy calm
κτησάμενος, οὐκ ἀγνοεῖ τὸ θεώρημα. Ἔργον ἡσυχίας
having-acquired not is-ignorant-of the observation work of-stillness
ἀμεριμνία προηγουμένη πάντων τῶν πραγμάτων εὐλόγων
freedom-from-care first of-all the things reasonable
καὶ ἀλόγων. Ὁ γὰρ τοῖς προτέροις ἀνοίγων, ἐν τοῖς
and unreasonable the(-one) for to-the former opening in the
δευτέροις πάντως περιπεσεῖται. Δεύτερον προσευχὴ ἄοκνος·
latter surely will-fall second prayer unslothful
καὶ τρίτον ἐργασία καρδίας ἄσυλος. Ἀδύνατον τὸν
and third work of-heart unplundered impossible the(-one)
μὴ γράμματα μεμαθηκότα φυσικῶς ἐν δέλτοις μελετᾷν·
not letters having-learned naturally in books to-study
ἀδυνατώτερον δέ, τοὺς μὴ τὸ πρότερον κτησαμένους τὰ δύο,
more-impossible and those not the first having-acquired the two
λόγῳ μετελθεῖν. Μετερχόμενος τὸ μέσον, ἐν μέσοις
by-reason to-pursue pursuing the middle among middle(-ones)
γέγονα· καὶ ἐφώτιζε διψῶντα· καὶ ἰδοὺ πάλιν ἦν ἐν
I-have-been and he-enlightened (me)-thirsting and behold again I-was among
ἐκείνοις· τί μὲν ἦν πρὸ τῆς ὁρατῆς ἐν αὐτῷ μορφῆς
them what indeed he-was before the visible in him form
διδάσκειν οὐκ ἠδύνατο· οὐδὲ γὰρ ἠφίετο ὁ ἄρχων· πῶς δὲ
to-teach not he-could nor for was-permitted the ruler how and
νῦν πέλει ἠρώτων λέγειν· ἐν τοῖς ἰδίοις μὲν ἔλεγεν, ἀλλ᾽
now he-is I-asked to-say in the own(-things) indeed he-said but
οὐκ ἐν τούτοις. Ἐγὼ δέ· Τίς ἡ δεξιὰ στάσις καὶ καθέδρα
not in these I and what the right standing and sitting
ἐπὶ τοῦ αἰτίου; Ἀδύνατον, ἔφη, ἀκοῇ μυσταγωγεῖσθαι
on the cause impossible he-said by-hearing to-be-initiated
ταῦτα. Πρὸς ὃ δέ με ὁ πόθος εἵλκε, προσαγαγεῖν τῷ
these(-things) to what and me the longing drew to-bring at-the

καιρῷ ἐκείνῳ ἠρώτων, οὔπω ἔφραζεν ἥκειν τὴν ὥραν,
time that I-asked not-yet he-said to-have-come the hour
δι᾽ ἔλλειψιν πυρὸς ἀφθαρσίας. Ταῦτα εἴτε σὺν τῷ
because-of lack of-fire of-incorruption these(-things) whether with the
χοῒ οὐκ οἶδα· εἴτε τούτου χωρίς, λέγειν εἰς ἅπαν οὐκ ἔχω.
dust not I-know or it without to-say in all not I-can
Χαλεπὸν τὸν τῆς μεσημβρίας ἀποτινάξασθαι ὕπνον ἐν ταῖς
hard the of-the noon to-shake-off sleep in the
θεριναῖς μάλιστα ὥραις· τότε γὰρ καὶ μόνον ἴσως τὸ τῶν
summer especially seasons then for also only perhaps the of-the
χειρῶν οὐκ ἀπόβλητον ἔργον. Ἔγνων τὸν ἀκηδίας δαίμονα
hands not contemptible work I-knew the of-listlessness demon
προποιοῦντα καὶ προοδοποιοῦντα τὸν τῆς πορνείας,
preparing and paving-the-way for-the(-demon) of-the fornication
ἵνα ἰσχυρῶς τὸ σῶμα ἑλκύσας, καὶ τῷ ὕπνῳ βαπτίσας,
that strongly the body having-dragged and in-the sleep having-drowned
ὥσπερ τοὺς μολυσμοὺς ἐν τοῖς ἡσυχάζουσιν ἐργάσηται.
as the defilements in the solitaries he-may-work
Ἐὰν ἀντιστῇς αὐτοῖς ἰσχυρῶς, πολεμήσουσί σε πάντως
if you-resist them strongly they-will-war-on you surely
κραταιῶς, ἵν᾽ ὡς μηδὲν ὠφελοῦντα, παύσωσι τῶν
mightily that as nothing profiting they-may-stop(-you) from-the
ἀγώνων. Οὐδὲν δὲ τὴν τῶν δαιμόνων ἧτταν, ὡς ὅπερ
struggles nothing but the of-the demons defeat as that
αὐτῶν πρὸς ἡμᾶς χαλεπὸς πόλεμος ἐνδείξασθαι δύναται.
their against us grievous war to-show can
Ἐν ταῖς προόδοις τὰ συναχθέντα φύλαττε· τῆς θύρας
in the outings the(-things) gathered guard the door
γὰρ ἀνοιγομένης αἱ κατάκλειστοι ὄρνις πέτανται. Καὶ
for opening the shut-in birds fly-off and

τότε λοιπόν, οὐδὲν τῆς ἡσυχίας ὠφελήθημεν. Μικρὰ θρὶξ
then thereafter nothing from-the stillness we-have-profited small a-hair
ταράσσει ὀφθαλμόν, καὶ μικρὰ φροντὶς ἀφανίζει ἡσυχίαν.
troubles (the)-eye and small care destroys stillness

8 Ἡσυχία γάρ ἐστιν ἀπόθεσις νοημάτων καὶ ἄρνησις εὐλόγων
stillness for is putting-off of-thoughts and denial of-reasonable
φροντίδων. Ὁ ὄντως ἡσυχίαν κατειληφώς, οὐδὲ τῆς
cares the(-one) truly stillness having-attained not-even of-the
ἑαυτοῦ σαρκὸς φροντίσει· ἀψευδὴς γάρ ἐστιν ὁ
own flesh will-take-thought unlying for is the(-one)
ἐπαγγειλάμενος. Ὁ νοῦν καθαρὸν παραστῆσαι τῷ Θεῷ
having-promised the(-one) (a)-mind pure to-present — to-God
βουλόμενος, καὶ φροντίσαι δονούμενος, ὅμοιός ἐστι τῷ
wishing and by-cares shaken like is to-the(-one)
τοὺς ἑαυτοῦ πόδας ἰσχυρῶς πεδήσαντι, καὶ ὀξέως βαδίζειν
the own feet tightly having-fettered and quickly to-walk
δοκιμάζοντι. Σπάνιοι μὲν οἱ τὴν κατὰ κόσμον φιλοσοφίαν
trying rare indeed those the in (the)-world philosophy
εἰς ἄκρον παιδευόμενοι· ἐγὼ δὲ λέγω, βραχύτεροι οἱ τὴν
to (the)-utmost trained I but say fewer those the
τῆς ὄντως ἡσυχίας φιλοσοφίαν ἐπιστάμενοι· ὁ οὔπω
of-the truly stillness philosophy knowing the(-one) not-yet
Θεὸν γνούς, εἰς ἡσυχίαν ἀδόκιμος, καὶ πολλοὺς κινδύνους
God having-known for stillness unfit and many dangers
ὑφιστάμενος. Ἡσυχία ἀπείρους ἀποπνίγει· ἄγευστοι γὰρ
undergoing stillness (the)-inexperienced chokes untasting for
γλυκύτητος Θεοῦ ὑπάρχουσιν, εἰς αἰχμαλωσίας, καὶ κλοπάς,
of-(the)-sweetness of-God they-are in captivities and thefts
καὶ ἀκηδίας, καὶ ῥεμβασμοὺς τὸν καιρὸν ἐξαναλίσκοντες.
and listlessness and wanderings the time spending
Ὁ προσευχῆς κάλλος ἁψάμενος, φεύξεται ὄχλους ὡς
the(-one) of-prayer (the)-beauty having-touched will-flee crowds as

ὄναγρος· τίς γὰρ εἰ μὴ αὕτη, εἴασεν ὄνον ἄγριον ἐλεύθερον
a-wild-ass who for if not this let (the)-ass wild free
πάσης συνουσίας ἀνθρώπων; Ὁ τὰ πάθη περικείμενος,
from-all company of-men the(-one) the passions wearing
καὶ τῇ τούτων ἀδολεσχίᾳ ἐν ἐρήμῳ διατρίβει, ὡς καὶ
also in-the their chatter in (the)-desert lives as also
γέρων μοι ἅγιος τὸ τοιοῦτον ἐφθέγξατο, καὶ ἐδίδαξε,
an-elder to-me holy the such(-thing) uttered and taught
Γεώργιον λέγω τὸν Ἀρσιλαΐτην, ὃν καὶ ἡ σὴ τιμιότης
George I-mean the Arsilaite whom also the your reverence
οὐδ' ὅλως ἠγνόησεν· οὗτος ἀχρείαν ψυχήν ποτε στοιχειῶν,
not at-all was-ignorant-of he a-useless soul once instructing
καὶ ποδηγῶν πρὸς ἡσυχίαν ἔλεγε.
and guiding to stillness said

Τῇ μὲν πρωΐᾳ, φησίν, ἐπεσημηνάμην ὡς ἐπίπαν τοὺς 9
in-the indeed morning he-says I-noticed as a-rule the
τῆς κενοδοξίας καὶ ἐπιθυμίας ἐπιδημεῖν δαίμονας· τῇ
of-the vainglory and desire to-come demons in-the
δὲ μεσημβρίᾳ τοὺς ἀκηδίας, καὶ λύπης, καὶ ὀργῆς·
and noon those of-listlessness and grief and anger
τῇ δὲ ἑσπέρᾳ τοὺς φιλοκόπρους καὶ τυράννους τῆς
in-the and evening the dung-loving and tyrants of-the
γαστρός· κρείσσων ὑποτακτικὸς πτωχὸς ὑπὲρ ἡσυχαστὴν
belly better a-submissive poor(-man) than a-solitary
περισπώμενον. Ὁ λόγῳ τὴν ἡσυχίαν μετιών, καὶ τὸ
distracted the(-one) by-reason the stillness pursuing and the
αὐτῆς κέρδος καθ' ἡμέραν μὴ καθορῶν, ἢ οὐ λόγῳ
its gain each day not seeing either not by-reason
ἡσύχασεν, ἢ οἰήσει κλέπτεται. Ἡ ἡσυχία ἐστὶ ἀδιάσπαστος
kept-stillness or by-conceit is-robbed the stillness is undistracted
Θεῷ λατρεία, καὶ παράστασις· ἡ Ἰησοῦ μνήμη ἑνωθήτω
to-God worship and standing the of-Jesus remembrance let-be-united

τῇ πνοῇ σου καὶ τότε γνώσῃ ἡσυχίας ὠφέλειαν.
with-the breath your and then you-will-know of-stillness (the)-benefit
Πτῶμα μὲν ὑπηκόῳ τὸ οἰκεῖον θέλημα· ἡσυχίῳ δὲ
a-fall indeed for-an-obedient(-man) the own will for-a-solitary and
προσευχῆς διάστασις. Ἐὰν ἐπιχαίρῃ παρουσίαις ἐν κέλλῃ,
from-prayer interruption if you-rejoice-in visits in (the)-cell
γίνωσκε σεαυτὸν ἀκηδίᾳ μόνῃ, καὶ οὐ Θεῷ σχολάζοντα.
know yourself to-listlessness alone and not to-God devoting
Ὑπογραμμός σοι ἔστω προσευχῆς, ἡ ἀδικουμένη χήρα
model for-you let-be of-prayer the wronged widow
ἀπὸ τοῦ ἀντιδίκου αὐτῆς· ἡσυχίας δὲ τύπος ὁ μέγας καὶ
by the adversary her of-stillness and model the great and
ἰσάγγελος ἡσυχαστὴς Ἀρσένιος. Μέμνησο ἐν τῇ μονίᾳ τῆς
angel-like solitary Arsenius remember in the solitude of-the
τοῦ ἰσαγγέλου τούτου ἡσυχαστοῦ διαγωγῆς, καὶ ὅρα ὡς καὶ
of-the angel-like this solitary life and see how also
παραβάλλοντας πολλάκις ἀπεπέμψατο, ἵνα μὴ τὸ μεῖζον
visitors often he-sent-away that not the greater
ἀπολέσῃ. Ἔγνων τοὺς δαίμονας τοῖς λόγῳ ἡσυχάζουσι
he-lose I-knew the demons to-those by-reason keeping-stillness
τοὺς ἀλόγους τῶν γυρευτῶν παραβάλλειν συχνότερον
the senseless of-the wanderers to-visit more-often
ἀναπείθοντας, ἵνα τοῖς ἐργάταις, κἂν δι᾽ ἐκείνων
persuading that the workers at-least through them
μικρὸν ἐμποδίσαι δυνηθῶσι. Σημείου τοὺς τοιούτους,
a-little to-binder they-may-be-able mark the such
ὦ οὗτος, καὶ μὴ παραιτοῦ λυπεῖν εὐσεβῶς ῥᾳθύμους·
O you and not refuse to-grieve piously (the)-indolent
ἴσως γὰρ ἐκ τῆς λύπης τοῦ γυρεύειν παύσονται.
perhaps for from the grief from-the wandering they-will-cease
Ὅρα μὴ τοῦ προειρημένου σκοποῦ χάριν εἰκῇ λυπήσῃς
see not of-the aforesaid aim for-the-sake rashly you-grieve

ψυχήν, ὕδωρ ἐκ δίψης ἐρχομένην παρὰ σοῦ ἀρύσασθαι.
a-soul water from thirst coming from you to-draw
Ἐν παντὶ δὲ λύχνου σοι δέον· βίος ἡσυχαζόντων,
in all and of-a-lamp for-you needful (the)-life of-solitaries
μᾶλλον δὲ μοναζόντων κατὰ συνείδησιν καὶ αἴσθησιν
rather but of-monks according-to conscience and perception
γινέσθω· ὁ λόγῳ τρέχων τὰ ἐπιτηδεύματα, καὶ τὰ
let-be the(-one) by-reason running the pursuits and the
ἀποφθέγματα, καὶ τὰ ἐνθυμήματα, καὶ τὰ διαβήματα, καὶ
utterances and the thoughts and the steps and
τὰ κινήματα πάντα κατὰ Κύριον, καὶ διὰ Κύριον
the movements all according-to (the)-Lord and because-of (the)-Lord
αὐτῷ ἐπιτηδευόμενα ἐν αἰσθήσει ψυχῆς, καὶ προσώπῳ
by-him pursued in perception of-soul and (the)-presence
Κυρίου ἐργάζεται· εἰ δὲ κλέπτεται, οὔπω κατὰ ἀρετὴν
of-(the)-Lord works if but be-is-robbed not-yet according-to virtue
πολιτεύεται. Ἀνοίξω, φησί τις, ἐν ψαλτηρίῳ τὸ πρόβλημά
lives I-will-open says one on (the)-psaltery the problem
μου, καὶ τὸ βούλημά μου, διὰ τὸ ἀτελὲς ἔτι τῆς
my and the counsel my because-of the imperfection still of-the
διακρίσεως· ἐγὼ δὲ ἀνοίσω διὰ προσευχῆς τὸ θέλημά
discernment I but will-offer-up through prayer the will
μου, κἀκεῖθεν τὴν πληροφορίαν μου ἐκδέξομαι. Πίστις
my and-thence the assurance my I-will-await faith
πτερὸν προσευχῆς· τοῦτο γὰρ μὴ ἔχουσα, πάλιν εἰς
(the)-wing of-prayer this for not having again into
κόλπον μου ἀποστραφήσεται· πίστις ἐστὶν ἀνενδοίαστος
(the)-bosom my it-will-return faith is undoubting
ψυχῆς στάσις, ὑπὸ οὐδεμιᾶς ἐναντιότητος κλονουμένη.
of-soul standing by no adversity shaken
Πιστός ἐστιν, οὐχ ὁ οἰόμενος Θεὸν δύνασθαι, ἀλλ'
faithful is not the(-one) thinking God to-be-able but

ὁ πιστεύων πάντων τεύξεται. Πίστις ἐστὶ ἀνελπίστων
the(-one) believing all he-will-obtain faith is of-hopeless(-things)
πρόξενος, καὶ τοῦτο ὁ λῃστὴς ἀπέδειξε. Πίστεως μήτηρ
cause and this the thief showed of-faith mother
μόχθος, καὶ εὐθὴς καρδία· ἡ μὲν γὰρ ἀδίστακτον
toil and (an)-upright heart the-one indeed for undoubting
ποιεῖ· ὁ δὲ δημιουργεῖ· ἡσυχαστῶν μήτηρ πίστις· εἰ μὴ
makes the-other and builds of-solitaries mother faith if not
γὰρ πιστεύσει, πῶς ἡσυχάσει; ἐν εἱρκτῇ πεδηθείς, φόβον
for he-will-believe how will-he-keep-stillness in prison fettered (the)-fear
κολάζοντος δέδοικε. Ὁ δὲ ἐν κέλλῃ ἠρεμῶν φόβον
of-(the)-punisher fears the(-one) but in (the)-cell resting fear
Κυρίου τέτοκεν. Οὐχ οὕτως ὁ πρότερος τὸ δικαστήριον,
of-(the)-Lord has-begotten not so the former the court
ὡς ὁ δεύτερος τὸ τοῦ κριτοῦ κριτήριον δέδοικεν.
as the second the of-the judge tribunal fears
10 Φόβου σοι πολλοῦ καθ' ἡσυχίαν χρή, ὦ θαυμάσιε·
fear for-you much in stillness is-needed O admirable(-one)
οὐδὲν γὰρ οὕτως ἀκηδίαν ἐκδιώκειν δύναται. Ἀτενίζει μὲν
nothing for thus listlessness to-drive-out can watches indeed
κατάκριτος διὰ παντός, πότε ἐν τῷ δεσμωτηρίῳ ὁ κριτὴς
a-condemned(-man) through all(-time) when in the prison the judge
παραγίνεται· ὁ δὲ ὄντως ἐργάτης, πότε ὁ κατεπείγων
comes the and truly worker when the urging(-one)
ἐλεύσεται. Δεδέσμευται τῷ προτέρῳ φορτίον λύπης· τῷ
will-come is-bound on-the former a-load of-grief on-the
δὲ δευτέρῳ πηγὴ δακρύων. Ἐὰν κτήσῃ ὑπομονῆς ῥάβδον,
and second a-spring of-tears if you-acquire of-patience (the)-staff
θᾶττον ὑπολήξουσιν οἱ κύνες ἀναιδεύεσθαι. Ὑπομονή ἐστιν
quickly will-cease the dogs to-be-shameless patience is
ἄθραυστος πόνος ψυχῆς, ὑπ' εὐλόγων, κτύπων μηδαμῶς
unbroken toil of-soul by reasonable noises in-no-way

σαλευομένη. Ὑπομονητικός ἐστιν ἐργάτης ἄπτωτος, καὶ διὰ
shaken a-patient(-man) is a-worker unfallen and through
πτωμάτων τὴν νίκην ποιούμενος. Ὑπομονή ἐστιν ὁρισμὸς
falls the victory making patience is a-limit
θλίψεως καθ' ἡμέραν ἐκδεχόμενος. Ὑπομονή ἐστι προφάσεων
of-affliction each day awaiting patience is of-pretexts
ἐκκοπή, καὶ οἰκεία προσοχή· οὐχ οὕτως τῆς ἑαυτοῦ τροφῆς,
cutting-off and own attention not so the own food
ὡς ὑπομονῆς, ὁ ἐργάτης δέεται. Ἐπὶ μὲν γὰρ τῆς δευτέρας
as patience the worker needs by indeed for the second
λήψεται στέφανον· ἐπὶ δὲ τῆς προτέρας ὄλεθρον κομίσεται.
he-will-receive a-crown by but the former ruin he-will-get
Ὑπομονητικὸς ἀνὴρ πρὸ μνήματος τέθνηκε, μνῆμα ἑαυτοῦ
a-patient man before (the)-tomb has-died (a)-tomb his
τὴν κέλλαν ποιησάμενος. Ὑπομονὴν ἔτεκεν ἐλπὶς καὶ
the cell having-made patience bore hope and
πένθος· ὁ γὰρ τῶν δύο χωρίς, ἀκηδίας δοῦλος.
mourning the(-one) for the two without listlessness slave
Γινώσκειν δεῖ τὸν τοῦ Χριστοῦ παλαιστήν, ποίους μὲν 11
to-know it-is-necessary the — of-Christ wrestler which indeed
τῶν ἐχθρῶν ἐκ μακρόθεν διώκειν, ποίους σὲ προσπαλαίειν
of-the enemies from afar to-drive-off which you to-grapple
συγχωρεῖν. Ποτὲ μὲν ἡ πάλη στέφανον προεξένησε·
to-allow sometimes indeed the wrestling a-crown brought
ποτὲ δὲ ἡ παραίτησις ἀδοκίμους πεποίηκεν· οὐ λόγῳ
sometimes and the refusal unproven has-made not by-word
τὰ τοιάδε ἐφικτὸν παιδεύεσθαι· οὐ γὰρ πάντες τοῖς
the such(-things) possible to-be-taught not for all by-the
αὐτοῖς, οὐδὲ ὡσαύτως πεποιώμεθα ἕνα· τῶν πνευμάτων
same nor alike are-formed one of-the spirits
ἐπιτήρει νηφόντως, ἐπειδὴ καὶ αὐτός σε πολεμεῖ ἀπαύστως
watch soberly since also it you wars-on ceaselessly

ἐν στάσει, καὶ μεταβάσει, καὶ καθέδρᾳ, καὶ κινήσει, καὶ
in standing and moving and sitting and motion and
ἀνακλίσει, καὶ εὐχῇ, καὶ ὕπνῳ. Οἱ μὲν τῶν ἐν τῷ
lying-down and prayer and sleep those indeed of-the(-ones) in the
δρόμῳ τῆς ἡσυχίας καθεζομένων· Προωρώμην τὸν Κύριόν
course of-the stillness sitting I-foresaw the Lord
μου ἐνώπιόν μου διὰ παντός, ἐν ἑαυτοῖς ἐργασίαν
my before me through all(-time) in themselves (as)-work
κατέχουσιν. Οὐ γὰρ πάντες οἱ ἄρτοι τῆς πνευματικῆς τοῦ
hold not for all the loaves of-the spiritual of-the
οὐρανίου σίτου ἐργασίας, μονοειδεῖς ὑπάρχουσι. Ἕτεροι δέ·
heavenly wheat work uniform are others and
Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσεσθε τὰς ψυχὰς ὑμῶν· ἄλλοι·
in the patience your you-will-gain the souls your others
Γρηγορεῖτε, καὶ προσεύχεσθε· ἕτεροι· Ἑτοίμαζε εἰς τὴν
watch and pray others prepare for the
ἔξοδον τὰ ἔργα σου· ἄλλοι· Ἐταπεινώθην, καὶ ἔσωσέ με·
departure the works your others I-was-humbled and saved me
τινὲς μέν· Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς
some indeed not worthy the sufferings of-the present time compared-with
τὴν μέλλουσαν δόξαν· ἄλλοι πάλιν· Μήποτε ἁρπάσῃ, καὶ οὐ
the coming glory others again lest be-snatch and not
μὴ ᾖ ὁ ῥυόμενος, διὰ παντὸς σκέπτονται. Πάντες
— there-be the(-one) delivering through all(-time) consider all
μὲν τρέχουσιν. Εἷς δὲ τούτων λαμβάνει τὸ βραβεῖον.
indeed run one but of-these receives the prize
Ἀκόπως, οὐ μόνον ἐγρηγορώς, ἀλλὰ καὶ καθεύδων ὁ
without-toil not only awake but also sleeping the(-one)
προκόψας ἐργάζεται. Ὅθεν τινὲς καὶ ἐν αὐτοῖς τοῖς ὕπνοις
having-advanced works whence some even in the-very the sleeps
τοὺς δαίμονας προσερχομένους ἀτιμάζουσι, καὶ ἀκόλαστα
the demons approaching dishonor and licentious

γύναια περὶ σωφροσύνης νουθετοῦσι. Μὴ ἀνάμενε, μηδὲ
women about temperance admonish not wait-for nor
προπαρασκευάζου παρουσίας· ἁπλῆ γὰρ ὅλη καὶ ἄδετος
prepare-for visits simple for wholly and unbound
τῆς ἡσυχίας ἡ κατάστασις. Οὐδεὶς θέλων οἰκοδομῆσαι
of-the stillness the state no-one wishing to-build
πύργον, καὶ κέλλαν ἡσυχίας ἐπιχειρεῖ, εἰ μὴ πρότερον
a-tower and a-cell of-stillness undertakes if not first
καθήσας ψηφίσει καὶ ψηλαφήσει, διὰ προσευχῆς,
having-sat-down he-counts and feels through prayer
εἰ ἔχει τὰ πρὸς ἀπαρτισμὸν ἰδιώματα, μήποτε
whether he-has the(-things) for completion qualities lest
γένηται μετὰ τὴν τοῦ θεμελίου καταβολὴν γελοῖον τοῖς
he-become after the of-the foundation laying a-laughingstock to-the
ἐχθροῖς αὐτοῦ, καὶ ἐμπόδιον ἑτέροις ἐργάταις· σκόπει τὴν
enemies his and a-hindrance to-other workers examine the
ἐπιδημοῦσαν ἡδύτητα, μήπως ἐκ πικρῶν ἰατρῶν, μᾶλλον
arriving sweetness lest from bitter physicians rather
δὲ ἐπιβούλων δολίως συνεκράθη. Νύκτωρ μὲν τὰ πολλὰ
but plotters deceitfully it-was-mixed by-night indeed the most
τῇ προσευχῇ δίδου, τὰ δὲ βραχέα τῇ ψαλμῳδίᾳ· ἡμέρας
to-the prayer give the and little to-the psalmody by-day
δὲ πρὸς τὴν σὴν πάλιν παρασκευάζου δύναμιν· οὐ
and according-to the your again prepare strength not
μετρίως φωτίζειν καὶ ἐπισυνάγειν τὸν νοῦν ἡ ἀνάγνωσις
moderately to-enlighten and to-gather the mind the reading
πέφυκε· λόγοι γὰρ Πνεύματος ἁγίου ὑπάρχουσι, καὶ τοὺς
is-wont words for of-(the)-Spirit holy they-are and those
μετερχομένους πάντως ῥυθμίζουσιν· ἔστω σοι ἐργάτῃ ὄντι
pursuing(-them) surely they-order let-be to-you a-worker being
τὰ ἀναγινωσκόμενα πρακτικά· τούτων γὰρ ἡ ἐργασία
the(-things) read practical of-these for the practice

περιττὴν ποιεῖ τὴν τῶν λοιπῶν ἀνάγνωσιν· πόνοις μᾶλλον,
superfluous makes the of-the rest reading by-toils rather
καὶ μὴ δέλτοις τοὺς τῆς ὑγείας λόγους φωτίζεσθαι ζήτει·
and not books the of-the health words to-be-enlightened seek
ἀλλοτριονόους πρὸ δυνάμεως πνευματικῆς, μὴ μετέρχου
alien-minded before strength spiritual not pursue
λόγους. Σκότους γὰρ ὄντα ῥήματα, τοὺς ἀδυνάτους
words of-darkness for being words the weak
σκοτίζουσι· μία κύλιξ πολλάκις γεῦσιν οἴνου ἐσήμανε· καὶ
they-darken one cup often (the)-taste of-wine showed and
εἷς λόγος ἡσυχαστοῦ τοῖς γεύσασθαι δυναμένοις πᾶσαν
one word of-a-solitary to-those to-taste able all
αὐτοῦ τὴν ἔνδον ὑπέδειξεν ἐργασίαν, καὶ κατάστασιν.
his the inward showed work and state
Ἄρεπτον ψυχῆς ὄμμα κέκτησο πρὸς οἴησιν· οὐ γάρ ἐστιν
unswerving of-soul (an)-eye have against conceit not for is
ἐν κλοπαῖς τι ταύταις ὀλεθριώτερον. Φείδου τῆς
among thefts anything these more-destructive spare the
γλώσσης προϊών· οἶδε γὰρ συντόμως πολλοὺς καμάτους
tongue going-out it-knows for quickly many labors
σκορπίζειν. Ἀπερίεργον ἄσκει κατάστασιν· μολύνειν γὰρ
to-scatter an-uncurious practice state to-defile for
τὴν ἡσυχίαν περιεργία ὡς οὐκ ἄλλο τι δύναται.
the stillness curiosity as not other anything can
Τοῖς παραβάλλουσι τὰ χρειώδη παράβαλλε, σώματι
to-those visiting the(-things) needful offer to-body
λέγω καὶ πνεύματι· εἰ μὲν σοφώτεροι καθεστήκασι διὰ
I-mean and spirit if indeed wiser they-are through
σιωπῆς τὴν φιλοσοφίαν ἐπιδειξώμεθα. Εἰ δὲ ἀδελφοὶ
silence the philosophy let-us-show if but brothers
τῇ καταστάσει, συμμέτρως τὴν θύραν ἀνοίξωμεν. Πλὴν
in-the state moderately the door let-us-open but

ἄμεινον πάντας ὑπερέχειν λογίζεσθαι. Βουλόμενόν με πάντῃ
better all to-excel to-reckon wishing me altogether
ἀποτρέπειν ἐν ταῖς συνάξεσι τὸ τοῦ σώματος ἔργον
to-turn-away in the services the of-the body work
τοῖς ἔτι νηπιώδεσιν, ἐπέσχεν ὁ τὴν ψάμμον ἐν τῇ
from-the still childish restrained the(-one) the sand in the
ἀναβολίδι παννυχὶ φέρων. Ὥσπερ ἐναντιοῦται τῷ λόγῳ
cloak all-night carrying as is-opposed to-the account
τῶν δογμάτων τῆς ἁγίας καὶ ἀκτίστου, καὶ προσκυνητῆς
of-the doctrines of-the holy and uncreated and worshipful
Τριάδος τὰ περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς
Trinity the(-things) about the incarnate dispensation of-the one
τῆς αὐτῆς πανυμνήτου μονάδος· τὰ μὲν γὰρ ἐκεῖ
of-the same all-praised unity the(-things) indeed for there
πληθυντικά, ἐν τούτῳ ὑπάρχουσι ἑνικά· τὰ δὲ ἐκεῖ
plural in this are singular the(-things) and there
ἑνικά, ἐνταῦθά εἰσι πληθυντικά· οὕτως ἕτερα τὰ τῇ
singular here are plural thus other the(-things) to-the
ἡσυχίᾳ, καὶ ἄλλα τὰ τῇ ὑπακοῇ πρέποντα ἐπιτηδεύματα.
stillness and other the to-the obedience fitting practices
Ὁ μὲν θεῖός φησιν Ἀπόστολος· Τίς ἔγνω νοῦν Κυρίου;
the indeed divine says Apostle who knew (the)-mind of-(the)-Lord
ἐγὼ δὲ λέγω· Τίς ἔγνω νοῦν ἀνθρώπου ἡσυχαστοῦ
I but say who knew (the)-mind of-a-man solitary
σώματι καὶ πνεύματι;
in-body and spirit
Κράτος βασιλεῖ πλοῦτος καὶ πλῆθος· κράτος δὲ ἡσυχαστῇ 12
might for-a-king wealth and abundance might but for-a-solitary
προσευχῆς πλῆθος.
of-prayer abundance

Prayer is the union of man with God, the world's support, the mother of tears, and the mirror of progress. Whoever goes to stand before the King must wear a garment woven of forgiveness, pray without elaborate words, as the publican did, and begin with thanksgiving, then confession, then request. One word gathers the mind where many scatter it, and the wandering mind must be shut up again in the words. Prayer begins by driving off suggestions and ends in rapture to the Lord. The fire that comes into the heart burns those not yet cleansed and illumines the perfect, so that some leave prayer as from a furnace and others clothed in light. Prayer's teacher is God alone, who gives prayer to the one who prays.

1 Προσευχή ἐστι κατὰ μὲν τὴν αὐτῆς ποιότητα
prayer is according-to indeed the its quality
συνουσία καὶ ἕνωσις ἀνθρώπου καὶ Θεοῦ· κατὰ δὲ
converse and union of-man and God according-to and
τὴν ἐνέργειαν, κόσμου σύστασις· Θεοῦ καταλλαγή,
the working of-(the)-world upholding with-God reconciliation
δακρύων μήτηρ καὶ πάλιν θυγάτηρ, ἁμαρτημάτων ἱλασμός,
of-tears mother and again daughter for-sins propitiation
πειρασμῶν γέφυρα, θλίψεων μεσότοιχον, πολέμων
over-temptations a-bridge against-afflictions a-wall of-wars
θραῦσις, ἀγγέλων ἔργον, ἀσωμάτων πάντων τροφή· ἡ
breaking of-angels work of-bodiless(-beings) all food the
μέλλουσα εὐφροσύνη, ἀπέραντος ἐργασία, ἀρετῶν πηγή,
coming gladness unending work of-virtues spring
χαρισμάτων πρόξενος, προκοπὴ ἀόρατος, τροφὴ ψυχῆς,
of-gifts cause progress invisible food of-soul
νοῦ φωτισμός, ἀπογνώσεως πέλυξ, ἐλπίδος ἀπόδειξις,
of-mind illumination for-despair an-axe of-hope proof
λύπης λύσις, πλοῦτος μοναχῶν, ἡσυχαστῶν θησαυρός,
of-grief dissolving wealth of-monks of-solitaries treasure

θυμοῦ μείωσις, ἔσοπτρον προκοπῆς, μέτρων ἐμφάνεια,
of-temper lessening mirror of-progress of-measures showing
καταστάσεως δήλωσις, τῶν μελλόντων μηνυτής,
of-state revealing of-the(-things) coming herald
κλέους σημασία. Προσευχή ἐστι τῷ ὄντως εὐχομένῳ
of-glory signal prayer is for-the(-one) truly praying
δικαστήριον καὶ κριτήριον, καὶ βῆμα Κυρίου, πρὸ τοῦ
(a)-court and tribunal and judgment-seat of-(the)-Lord before the
βήματος μέλλοντος· ἀναστάντες ἀκούσωμεν, τῆς ἱερᾶς
judgment-seat coming having-risen let-us-hear the holy
ταύτης βασιλίσσης τῶν ἀρετῶν πρὸς ἡμᾶς ὑψηλῇ τῇ
this queen of-the virtues to us with-lofty the
φωνῇ βοώσης καὶ λεγούσης· Δεῦτε πρός με, πάντες οἱ
voice crying and saying come to me all the(-ones)
κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε
laboring and having-been-burdened I-too will-give-rest you take-up
τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς
the yoke my upon you and you-will-find rest for-the
ψυχαῖς ὑμῶν, καὶ ἴασιν ταῖς πληγαῖς ὑμῶν. Ὁ γὰρ ζυγός
souls your and healing for-the wounds your the for yoke
μου χρηστός, καὶ πταισμάτων μεγάλων ἰαματικὸς ὑπάρχει.
my kind and of-failings great healing is
Ὅσοι βασιλεῖ, καὶ Θεῷ παραστῆναι, καὶ συλλαλῆσαι
as-many-as to-(the)-king and God to-stand and to-converse
πορευόμεθα, μὴ ἀπαρασκεύαστοι τὸν δρόμον ποιησώμεθα,
we-go not unprepared the journey let-us-make
μήπως θεασάμενος ἡμᾶς μακρόθεν μὴ ἔχοντας ὅπλα
lest having-seen us from-afar not having arms
καὶ στολὴν βασιλικῆς παραστάσεως, τοῖς ὑπηρέταις καὶ
and dress of-royal audience the servants and
λειτουργοῖς ἐπιτρέψῃ πόῤῥω που τοῦ αὐτοῦ προσώπου
ministers he-order far somewhere from-the his face

δεθέντας ἐξορίζεσθαι, καὶ τὰς ἡμῶν δεήσεις εἰς πρόσωπον
bound to-be-banished and the our petitions into (the)-face
ἡμῶν διαῤῥησσομένας ἀντιπέμπεσθαι. Ἔστω ὁ σὸς χιτὼν
our torn-up to-be-thrown-back let-be the your tunic
τῆς ψυχῆς ἐνώπιον Κυρίου παρασταθῆναι πορευομένῳ ὅλος
of-the soul before (the)-Lord to-stand going wholly
νήματι, μᾶλλον δὲ λύματι ἀμνησικακίας ἐξυφασμένος.
with-thread rather but with-loosing of-freedom-from-grudges woven
Εἰ δὲ μή, οὐδὲν τῆς προσευχῆς ὠφεληθήσῃ. Ἔστω
if but not nothing from-the prayer you-will-profit let-be
σοι ὅλον τὸ τῆς δεήσεως ἀποίκιλον· ἑνὶ γὰρ λόγῳ
for-you wholly the of-the petition unvaried with-one for word
τελώνης, καὶ ἄσωτος τὸν Θεὸν διήλλαξαν· μία μὲν
(the)-tax-collector and (the)-prodigal — God reconciled one indeed
ἡ τῶν παρισταμένων παράστασις· πολὺ δὲ ἐν αὐτῇ
the of-those standing standing much but in it
τὸ ποικίλον, καὶ τὸ διάφορον κέκτηται· οἱ μὲν ὡς
the variety and the difference it-has some indeed as
φίλῳ καὶ Δεσπότῃ ἐντυγχάνουσι, τῆς ἑτέρων λοιπόν,
to-a-friend and Master petition for-the of-others thereafter
καὶ οὐ τῆς αὐτῶν ἀντιλήψεως ἕνεκα, τὸν ὕμνον, καὶ
and not the their-own help for-the-sake the hymn and
τὴν ἱκεσίαν προσάγοντες· ἄλλοι πλοῦτον καὶ δόξαν, καὶ
the supplication offering others wealth and glory and
παῤῥησίαν πλείονα ἐπιζητοῦντες· ἕτεροι τοῦ ἀντιδίκου
boldness greater seeking others from-the adversary
τοῦ ἑαυτῶν εἰς τέλεον ἀπαλλαγῆναι αἰτοῦντες· τινὲς μὲν
the own to completion to-be-freed asking some indeed
ἀξίαν τινὰ λήψεσθαι δυσωποῦντες· ἄλλοι τελείαν τὴν τοῦ
rank some to-receive entreating others complete the of-the
χρέους ἀμεριμνίαν· τινὲς μὲν φυλακῆς ἐλευθερίαν· ἄλλοι
debt freedom-from-care some indeed from-prison freedom others

δὲ ἐγκλημάτων λύσιν. Πρὸ πάντων ἐν τῷ τῆς ἡμετέρας
and of-charges release before all on the of-the our
δεήσεως χάρτῃ εὐχαριστίαν εἰλικρινῆ κατατάξωμεν.
petition paper thanksgiving sincere let-us-set-down
Δεύτερον δὲ στίχον, ἐξομολόγησιν, καὶ συντριμμὸν ψυχῆς
second and line confession and contrition of-soul
ἐν ἀναισθήσει· εἶθ' οὕτως τὴν αἴτησιν ἡμῶν τῷ Παμβασιλεῖ
in insensibility then thus the request our to-the King-of-all
γνωρίσωμεν. Ἄριστος γὰρ ὁ εἰρημένος προσευχῆς τρόπος,
let-us-make-known best for the said of-prayer manner
ὥς τινι τῶν ἀδελφῶν ὑπὸ ἀγγέλου Κυρίου δεδήλωται. Εἰ
as to-one of-the brothers by (an)-angel of-(the)-Lord it-has-been-shown if
μὲν ὑπεύθυνος γέγονάς ποτε ὁρατῷ δικαστῇ, οὐ δεηθήσῃ
indeed answerable you-have-been ever to-a-visible judge not you-will-need
ἑτέρου τύπου ἐν τῇ παραστάσει τῆς προσευχῆς σου. Εἰ δὲ
other model in the standing of-the prayer your if but
οὐδέπω, οὐδὲ παρέστηκας, οὐδὲ ἐξεταζομένους ἐθεάσω,
never not-even you-have-stood nor (men)-examined you-have-seen
κἂν ἐκ τῆς πρὸς ἰατροὺς τῶν νοσούντων ἱκεσίας, τὸ
at-least from the to physicians of-the sick supplication the
τοιοῦτον παιδεύθητι, ἡνίκα ὑπ' αὐτῶν μέλλουσι τέμνεσθαι,
such(-thing) be-taught when by them they-are-about to-be-cut
ἢ καίεσθαι. Μὴ σοφίζου ἐν εὐχῆς σου ῥήμασι· παίδων
or to-be-burned not be-clever in of-prayer your words of-children
γὰρ πολλάκις ἁπλᾶ ψελλίσματα καὶ ἀποίκιλα τὸν Πατέρα
for often simple lispings and plain the Father
αὐτῶν, τὸν ἐν τοῖς οὐρανοῖς ἐθεράπευσαν. Μὴ πολυλογεῖν
their the(-one) in the heavens pleased not to-say-much
ἐπιχείρει, ἵνα μὴ πρὸς ζήτησιν λόγων διασκεδασθῇ ὁ
attempt that not in seeking of-words be-scattered the
νοῦς. Εἷς λόγος τελωνικὸς τὸν Θεὸν ἐξιλεώσατο· καὶ
mind one word of-(the)-tax-collector — God propitiated and

ἓν ῥῆμα πιστὸν τὸν λῃστὴν διέσωσε. Πολυλογία μὲν
one saying faithful the thief saved much-talk indeed
πολλάκις ἐν προσευχῇ τὸν νοῦν, καὶ ἐφάντασε καὶ
often in prayer the mind both filled-with-fancies and
διέχυσε. Μονολογία δὲ πολλάκις τὸν νοῦν συνάγειν πέφυκε·
dissipated a-single-word but often the mind to-gather is-wont
καθηδυνόμενος, ἢ κατανυσσόμενος ἐν λόγῳ προσευχῆς,
delighted or pierced in a-word of-prayer
μένε ἐν αὐτῷ· ὁ γὰρ φύλαξ ἡμῶν τότε ὑπάρχει ὁ
remain in it the for guardian our then is the(-one)
συμπροσευχόμενος ἡμῖν· μὴ παῤῥησιάζου, κἂν καθαρότητα
praying-with us not be-forward even-if purity
κέκτησαι· ταπεινοφροσύνῃ δὲ μᾶλλον πολλῇ πρόσελθε,
you-have with-humility but rather much approach
καὶ πλεῖον παῤῥησιασθήσῃ· κἂν πᾶσαν τὴν κλίμακα τῶν
and more you-will-have-boldness even-if all the ladder of-the
ἀρετῶν ἀναβέβηκας, ὑπὲρ ἀφέσεως ἁμαρτιῶν προσεύχου·
virtues you-have-climbed for forgiveness of-sins pray
ἀκούων Παύλου περὶ ἁμαρτωλῶν βοῶντος· Ὧν πρῶτος
hearing Paul about sinners crying of-whom first
εἰμὶ ἐγώ. Ἐξαρτύειν ὄψα ἔλαιον καὶ ἅλες πεφύκασι·
am I to-season dishes oil and salt are-wont
πτεροῦν δὲ προσευχὴν σωφροσύνη καὶ δάκρυα. Ἐὰν
to-give-wings and to-prayer temperance and tears if
πᾶσαν πραΰτητα καὶ ἀοργησίαν ἀμφιάσῃ· οὐ πολλὰ
all meekness and freedom-from-anger you-put-on not much
κοπωθήσῃ ἐλευθεροῦν αἰχμαλωσίας τὸν νοῦν σου. Ἕως
you-will-toil to-free from-captivity the mind your while
οὗ προσευχὴν ἐναργῆ οὐ κεκτήμεθα τοῖς γυμνάζουσι τὰ
— prayer clear not we-have to-those training the
νήπια βαδίζειν ἐν προοιμίοις ἐοίκαμεν. Πύκτευε ἀναφέρειν,
infants to-walk in (the)-beginnings we-are-like struggle to-lift-up

μᾶλλον δὲ ἀποκλείειν τὴν ἔννοιαν ἐν τοῖς τῆς προσευχῆς
rather but to-shut-in the thought in the of-the prayer
ῥήμασι, κἂν ἐξατονήσασα διὰ τὸ νηπιῶδες πέσῃ, πάλιν
words and-if growing-weak because-of the childishness it-falls again
αὐτὴν εἰσάγαγε· ἴδιον γὰρ τοῦ νοὸς τὸ ἄστατον. Δυνατὸν
it bring-in property for of-the mind the instability possible
δὲ τοῦτον στῆσαι τῷ πάντα δυναμένῳ ἱστᾷν. ἐὰν
but it to-steady for-the(-one) all able to-steady if
ἀνελλιπῶς τὸν ἀγῶνα κέκτησαι, ἐπιδημήσῃ καὶ ἐν σοὶ
unfailingly the struggle you-keep will-come also in you
ὁ τὴν θάλατταν τοῦ νοὸς περιορίζων· καὶ ἐρεῖ πρὸς
the(-one) the sea of-the mind bounding and will-say to
αὐτὴν ἐν τῇ προσευχῇ σου· Μέχρι τούτου ἐλεύσῃ, καὶ
it in the prayer your to this you-will-come and
οὐχ ὑπερβήσῃ. Ἀδύνατον πνεῦμα δεσμεῖν· ὅπου δὲ ὁ τοῦ
not you-will-pass impossible spirit to-bind where but the of-the
πνεύματος κτίστης, πάντα ὑποτέτακται. Εἰ μὲν ἥλιόν ποτε
spirit creator all is-subjected if indeed (the)-sun ever
τεθέασαι, δυνήσῃ αὐτῷ καὶ συλλαλῆσαι πρεπόντως·
you-have-seen you-will-be-able with-him also to-converse fittingly
ὃ γὰρ οὐχ ἑώρακας, πῶς ἐντυγχάνειν ἀψευδῶς δύνασαι;
what for not you-have-seen how to-converse truly can-you
Ἀρχὴ μὲν προσευχῆς προσβολαὶ μονολογίστως διωκόμεναι 2
beginning indeed of-prayer suggestions by-a-single-word driven-off
ἐκ προοιμίων αὐτῶν. Μεσότης τὸ ἐν τοῖς λεγομένοις
from (the)-outset their middle the in the(-things) said
ἢ νοουμένοις μόνοις εἶναι τὴν διάνοιαν. Τὸ δὲ ταύτης
or thought alone to-be the mind the and its
τέλειον ἁρπαγὴ πρὸς Κύριον. Ἄλλη ἡ ἀγαλλίασις ἡ
perfection rapture to (the)-Lord other the exultation the(-one)
ἐν προσευχῇ τοῖς ἐν συνοδίᾳ διάγουσιν ἐπισυμβαίνουσα,
in prayer to-those in company living coming

καὶ ἑτέρα ἡ τοῖς καθ᾽ ἡσυχίαν προσευχομένοις
and other the(-one) to-those in stillness praying
προσγινομένη. Ἡ μὲν γὰρ ἴσως πεφάνταται μικρόν·
coming the-one indeed for perhaps is-fancied a-little
ἡ δὲ ὅλη ταπεινοφροσύνης πεπλήρωται. Ἐὰν ἀεὶ
the-other and wholly with-humility is-filled if always
γυμνάζῃς τὸν νοῦν μὴ μακρύνειν, καὶ ἐν τῇ τῆς τραπέζης
you-train the mind not to-wander-far even at the of-the table
παραθήκῃ πλησίον σου γενήσεται· εἰ δὲ ἀκωλύτως
serving near you it-will-be if but unchecked
πλάζεται, οὐδέποτέ σοι παραμένειν πέφυκεν· ὁ μὲν
it-wanders never with-you to-remain it-is-wont the indeed
μέγας τῆς μεγάλης καὶ τελείας προσευχῆς ἐργάτης φησί·
great of-the great and perfect prayer worker says
Θέλω εἰπεῖν πέντε λόγους τῷ νοΐ μου, καὶ τὰ ἑξῆς.
I-wish to-speak five words with-the mind my and the(-rest) following
Νηπιωδεστέρων δὲ τὸ τοιοῦτον ἀλλότριον· διόπερ ἡμεῖς
of-(the)-more-childish but the such(-thing) foreign therefore we
μετὰ τῆς ποιότητος, καὶ τοῦ πλήθους τῆς ποσότητος ὡς
with the quality also the abundance of-the quantity as
ἀτελεῖς δεόμεθα· τὸ γὰρ δεύτερον τοῦ προτέρου πρόξενον·
imperfect need the for second of-the first cause
διδοὺς γάρ, φησίν, εὐχὴν καθαρὰν τῷ ἀόκνως εὐχομένῳ
giving for it-says prayer pure to-the(-one) unslothfully praying
ῥυπαρῶς καὶ πεπονημένως· ἄλλο ῥύπος προσευχῆς, καὶ
impurely and laboriously other defilement of-prayer and
ἄλλο ἀφανισμός, καὶ ἄλλο κλοπή, καὶ ἕτερον μῶμος.
other destruction and other theft and other blemish
Ῥύπος ἐστὶ Θεῷ παρίστασθαι, καὶ ἀτόπους ἐννοίας
defilement is before-God to-stand and monstrous thoughts
φαντάζεσθαι· ἀφανισμός ἐστι, τὸ εἰς φροντίδας ἀνωφελεῖς
to-picture destruction is the into cares useless

αἰχμαλωτίζεσθαι· κλοπή ἐστι τὸ ἀνεπαισθήτως τὴν ἔννοιαν
to-be-taken-captive theft is the unnoticed the thought
ῥέμβεσθαι· μῶμός ἐστι προσβολὴ ἡ οἱαοῦν τότε πρὸς
to-wander blemish is suggestion the whatever then to
ἡμᾶς ἐγγίζουσα. Εἰ μὲν οὐ κατὰ μόνας τυγχάνωμεν τῷ
us approaching if indeed not by ourselves we-are at-the
καιρῷ τῆς παραστάσεως, ἔνδοθεν τὸ σχῆμα τῆς ἱκεσίας
time of-the standing within the form of-the supplication
ἀνατυπώσωμεν. Εἰ δὲ οὐ πάρεισι τῶν ἐπαίνων οἱ ὑπηρέται,
let-us-shape if but not are-present of-the praises the servants
καὶ τὸ ἔξωθεν εἶδος εἰς πρεσβείαν τυπώσωμεν. Ἐν τοῖς
also the outward form for intercession let-us-shape in the
γὰρ ἀτελέσι πολλάκις ὁ νοῦς τῷ σώματι συσχηματίζεται·
for imperfect often the mind to-the body is-conformed
πάντες μέν, ἐπὶ πλείω δὲ οἱ τὴν ἄφεσιν τοῦ χρέους
all indeed in greater(-measure) but those the forgiveness of-the debt
λαβεῖν πρὸς βασιλέα πορευόμενοι, ἀμυθήτου συντριμμοῦ
to-receive to (the)-king going of-untold contrition
δέονται. Ἐὰν ἐν εἱρκτῇ ἔτι τυγχάνωμεν, ἀκούσωμεν
need if in prison still we-are let-us-hear
τοῦ λέγοντος Πέτρῳ· Ζῶσαι λέντιον ὑπακοῆς, καὶ
the(-one) saying to-Peter gird-on (the)-towel of-obedience and
ἀπόδυσαι τὰ θελήματά σου, καὶ γυμνὸς τούτων πρόσελθε
strip-off the wills your and naked of-them approach
Κυρίῳ ἐν προσευχῇ σου· τὸ αὐτοῦ μόνου ἐπικαλούμενος
(the)-Lord in prayer your the his alone invoking
θέλημα, καὶ τότε λήψῃ Θεὸν τὸν τῆς σῆς ψυχῆς
will and then you-will-receive God the(-one) of-the your soul
κατέχοντα οἴακα, καὶ ἀκινδύνως κυβερνῶντά σε· ἀναστὰς
holding (the)-helm and safely steering you having-risen
ἐκ φιλοκοσμίας καὶ φιληδονίας, ἀπόῤῥιψε φροντίδας·
from love-of-the-world and love-of-pleasure throw-off cares

ἀπόδυσαι ἐννοίας· ἀπάρνησαι σῶμα· οὐδὲν γὰρ ἕτερόν
strip-off thoughts renounce (the)-body nothing for other
ἐστι προσευχή, εἰ μὴ κόσμου ὁρατοῦ καὶ ἀοράτου
is prayer if not from-(the)-world visible and invisible
ἀλλοτρίωσις. Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ; Οὐδέν.
estrangement what for to-me is in the heaven nothing
Καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς; Οὐδέν, ἀλλ' ἢ
and from you what did-I-wish on the earth nothing but —
ἀπερισπάστως διὰ παντὸς ἐν προσευχῇ προσκολλᾶσθαί
undistractedly through all(-time) in prayer to-cling
σοι. Τισὶ μὲν πλοῦτος, ἑτέροις δόξα, ἄλλοις δὲ κτῆσις
to-you to-some indeed wealth to-others glory to-others and possession
ἐραστὴ καθέστηκεν· Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ
beloved is to-me but the to-cling — to-God
ἐπιθύμητόν ἐστι, καὶ τίθεσθαι ἐν αὐτῷ τὴν ἐλπίδα τῆς
desirable is and to-place in him the hope of-the
ἀπαθείας μου. Πίστις προσευχὴν ἐπτέρωσε· χωρὶς γὰρ
dispassion my faith prayer gave-wings-to without for
ταύτης εἰς οὐρανὸν πετασθῆναι οὐ δύναται. Αἰτήσωμεν οἱ
it to heaven to-fly not it-can let-us-ask we
ἐμπαθεῖς ἐπιμόνως τὸν Κύριον· πάντες γὰρ οἱ ἐμπαθεῖς
passionate(-ones) persistently the Lord all for the passionate(-ones)
ἐξ ἐμπαθείας εἰς ἀπάθειαν προέκοψαν. Εἰ καὶ μὴ τὸν Θεὸν
from passion to dispassion advanced if even not — God
φοβεῖται ὁ κριτής, ἀλλά γε διὰ τὸ κόπους αὐτῷ
fears the judge yet at-least because-of the trouble to-him
παρέχειν δι' ἁμαρτίας, καὶ πταίσματος χηρεύσασαν ἐξ
to-give through sin and failing widowed from
αὐτοῦ ψυχήν, ποιήσει τὴν ἐκδίκησιν αὐτῆς ἐκ τοῦ ἀντιδίκου
him a-soul he-will-do the vindication her from the adversary
αὐτῆς σώματος, καὶ τῶν πολεμίων αὐτοῦ πνευμάτων.
her body and the hostile its spirits

Τοὺς μὲν εὐγνώμονας ὁ ἀγαθὸς ἡμῶν πραγματευτὴς
the indeed grateful the good our merchant
διὰ τῆς συντόμου τοῦ αἰτήματος παροχῆς, πρὸς τὴν
through the quick of-the request granting to the
ἑαυτοῦ ἀγάπην ἐφέλκεται· τὰς δὲ ἀγνώμονας τῶν κυνῶν
own love draws the but ungrateful of-the dogs
ψυχὰς διὰ τῆς πείνης καὶ τῆς τοῦ αἰτήματος δίψης πρὸς
souls through the hunger and the of-the request thirst by
αὐτὸν παρακαθέζεσθαι διὰ προσευχῆς παρασκευάζει. Ὁ
him to-sit through prayer he-makes the
γὰρ ἀγνώμων κύων κομισάμενος ἄρτον εὐθέως ἀναχωρεῖ
for ungrateful dog having-got bread immediately leaves
τοῦ δεδωκότος. Μὴ λέγε χρονίζων ἐν τῇ δεήσει μηδὲν
the(-one) having-given not say spending-long in the petition nothing
κατωρθωκέναι· ἤδη γὰρ καὶ κατώρθωκας. Τί γὰρ καὶ
to-have-achieved already for also you-have-achieved what for even
ὑψηλότερον ἀγαθὸν τοῦ τῷ Κυρίῳ προσκολλᾶσθαι, καὶ
higher good than-the to-the Lord to-cling and
ἐν τῇ πρὸς αὐτὸν ἑνώσει ἀδιαλείπτως προσκαρτερεῖν.
in the with him union unceasingly to-persevere
Οὐχ οὕτως κατάκριτος δέδοικε τῆς ἑαυτοῦ τιμωρίας
not so a-condemned(-man) fears of-the own punishment
τὴν ἀπόφασιν, ὡς ὁ προσευχῆς ἐπιμελούμενος τὴν
the sentence as the(-one) prayer caring-for the
ταύτης παράστασιν. Ὅθεν εἰ σοφός τις καὶ ἀγχίνους
its standing whence if wise anyone and quick-witted
ὑπάρχει ἐκ τῆς ἐκείνης μνήμης, πᾶσαν λοιδορίαν, καὶ
is from the of-that remembrance all reviling and
ὀργήν, καὶ μέριμναν, καὶ ἀσχολίαν, καὶ θλῖψιν, καὶ κόρον,
anger and care and business and affliction and satiety
καὶ πειρασμόν, καὶ λογισμὸν ὑποστρέφεσθαι δύναται.
and temptation and thought to-turn-back can

Προπαρασκευάζου διὰ ἀεννάου ἐν ψυχῇ προσευχῆς πρὸς
prepare-beforehand through unceasing in soul prayer for
τὴν παράστασιν τῆς σῆς ἱκεσίας, καὶ συντόμως προκόψεις.
the standing of-the your supplication and quickly you-will-advance
3 Ἑώρακα ἐν ὑπακοῇ ἐξαστράπτοντας, καὶ τῆς κατὰ νοῦν
I-have-seen in obedience shining and the in mind
ὅση δύναμις μνήμης Θεοῦ μὴ ἀμελοῦντας ἀθρόον ἐπὶ
as-far-as possible remembrance of-God not neglecting at-once at
προσευχὴν παρασταθέντας, καὶ συντόμως τοῦ ἑαυτῶν
prayer having-stood and quickly the own
νοὸς περιγενομένους καὶ κρουνηδὸν δάκρυα προχεομένους.
mind mastering and in-streams tears pouring-forth
Προπαρεσκευασμένοι γὰρ ὑπὸ τῆς ὁσίας ὑπακοῆς ἐτύγχανον·
prepared-beforehand for by the holy obedience they-were
τῇ μὲν μετὰ πλήθους ψαλμῳδίᾳ, αἰχμαλωσίαι καὶ ῥεμβασμοὶ
the indeed with (a)-crowd psalmody captivities and wanderings
παρέπονται· τῇ δὲ ἰδιαζούσῃ οὐχ οὕτως· ἀλλὰ τῇ μὲν
attend the but private not thus but the-one indeed
ἀκηδίᾳ πολεμεῖ, τῇ δὲ προθυμίᾳ συνεργεῖ. Ἀγάπην μὲν
listlessness wars-on the-other and eagerness helps love indeed
στρατευομένου πρὸς βασιλέα ἀνέδειξε πόλεμος· ἀγάπην
of-a-soldier toward (the)-king showed war love
δὲ μοναχοῦ πρὸς Θεὸν ἤλεγξε προσευχῆς καιρὸς καὶ
and of-a-monk toward God tested of-prayer (the)-time and
παράστασις· τὴν σεαυτοῦ κατάστασιν, ἡ σὴ προσευχὴ
standing the your-own state the your prayer
ἐμφανίσει σοι· ἔσοπτρον γὰρ αὐτὴν τοῦ μοναχοῦ οἱ
will-show to-you (a)-mirror for it of-the monk the
θεολόγοι ἐκεῖνοι ἐκδεδώκασιν· ὁ τὸν τυχὸν μετερχόμενος
theologians those have-declared the(-one) the chance pursuing
ἔργον καὶ προσευχῆς ὥρας καταλαμβανομένης ἐν αὐτῷ
work and of-prayer (the)-hour arriving in it

προσασχολούμενος, ὑπὸ δαιμόνων ἐμπαίζεται. Σκοπὸς γὰρ
occupied by demons is-mocked aim for
τοῖς κλέπταις ὥραν δι᾽ ὥρας ἐξ ἡμῶν ἀποσυλῆσαι.
to-the thieves hour by hour from us to-steal
Μὴ παραιτούμενος, καὶ ὑπὲρ ψυχῆς προσεύχεσθαι, κἂν
not refusing even for (a)-soul to-pray even-if
